daret, interim ab illa carminibus recitatis quibusdam daemonum-

καὶ οἴνῳ τὸ ταύτης αἷμα προσμίξαι καὶ δοῦναι τοῖς στρατιώταις
αὐτοῦ ἀπογεύσασθαι, ἐπὶ τούτοις ἐκείνης ἐπῳδὰς εἰπούσης τινὰς P II 17 A
καὶ δαιμόνων ἐπικαλουμένης ἐπικουρίαν. ἄρτι δὲ τῆς ἡμέρας 13
κλινάσης ἀλλήλοις συνερράγησαν τὰ στρατεύματα, καὶ πολλὰς
τῆς μάχης σχούσης μεταβολὰς τέλος ἡ νίκη τῷ Κωνσταντίῳ
ἐπεμειδίασε, καὶ μέχρι βαθείας νυκτὸς συνεκόπτοντο οἱ τοῦ
Μαγνεντίου καὶ ἀπώλλυντο· οὕτω δὲ τῆς τοῦ πολέμου ῥοπῆς 14
τῷ τυράννῳ συνενεχθείσης, εἰς φυγὴν ἐκεῖνος ἀπεῖδεν. ἵνα δὲ 15
D III 198 μὴ τοῖς βασιλικοῖς παρασήμοις φεύγων γνωρίζοιτο, ἀποτίθεται
ταῦτα καὶ ἰδιωτικὴν ἀναλαμβάνει στολὴν καὶ τῷ βασιλείῳ ἵππῳ
τὰ παράσημα ἐπιθέμενος ἄνετον ἀφῆκε τρέχειν αὐτόν, ἵνα νομίζοιτο πρὸς τῶν ὁρώντων τὸν ἵππον θέοντα τοῦ ἐπιβάτου
χωρὶς ἀνῃρημένος αὐτὸς καὶ μὴ καταδιώκοιτο πρός τινων. ὁ 16
μὲν οὖν οὕτω διέδρα· ἕωθεν δὲ ὁ Κωνστάντιος ἐπί τινος ἀνα- B
βὰς λόφου καὶ τὴν παρακειμένην πεδιάδα, ἀλλὰ μὴν καὶ τὸν
παραρρέοντα ποταμὸν νεκρῶν ἰδὼν γέμοντα, εἰς φανερὰ κατήνεκτο δάκρυα, οὐ μᾶλλον διὰ τὴν νίκην ἡδόμενος ὅσον διὰ
τὸν τῶν πεσόντων δακνόμενος ὄλεθρον. λέγονται γὰρ ἐκ μὲν 17

7 ὅτι ἡττηθεὶς ὁ Μαγνέντιος ἔφυγεν CE

2 αὐτὸ Dwp τινας εἰπούσης Owp 3 inter δαιμόνων | et | ἐπικαλουμένης quattuor fere litterae sunt erasae in C 4 κλινούσης Owp συνερράγησαν ἀλλήλοις Owp 6. 7 οἱ τοῦ μαγν. συνεκόπτοντο Owp 7 ἀπώλυντο A, ἀπώλλυντο Rwp, ἀπόλυντο D, corr. Dw οὕτω ARwp, οὔπω C 12 τὸν ἵππον Rwp*Di*, τῶν ἵππων A θέοντα post ὁρώντων E 16 παρρέοντα E 18 λέγεται Dwp

que implorata ope. Iam die inclinato inter se congressi sunt 13
exercitus et, cum diu pugna stetisset anceps, tandem victoria
Constantio arrisit, ad multam noctem concisis militibus Magnentii
ac profligatis; ita autem cum bello decretum esset, tyrannus in 14
fugam se dedit. Ne vero fugiens ex regiis insignibus cognosce- 15
retur, his depositis privatam sumit vestem et equum suum regium insignibus impositis solutum dimisit ad fugam, ut ipse ab
iis, qui vidissent equum currentem sessore vacuum, putaretur
sublatus esse neque a persequentibus vexaretur. Ille igitur ita 16
effugit; mane vero Constantius quodam ascenso tumulo cum
adiacentem planitiem tum praeterfluentem fluvium corporibus
conspicatus plenum manifestas effudit lacrimas non tam de victoria laetatus quam caesorum morsus exitio. Dicuntur enim de 17
illius militibus, qui omnino erant octoginta milium, ad triginta
milia cecidisse, de Magnentii, qui erant sex et triginta milium,

τῶν ἐκείνου περὶ τριάκοντα πεσεῖν χιλιάδας, ἁπασῶν ἀριθμουμένων εἰς ὀγδοήκοντα, ἐκ δὲ τῶν Μαγνεντίου τριάκοντα καὶ ἓξ οὐσῶν χιλιάδων διαφθαρῆναι τὰς εἴκοσι πρὸς ταῖς τέσσαρσιν.
18 αὐτίκα τοίνυν τοὺς μὲν ἀνῃρημένους τῶν πεσόντων ταφῆς ἀξιωθῆναι πάντας ἐκέλευσε, μὴ διακρινομένων τῶν οἰκείων ἢ τῶν πολεμίων, τοὺς δ' ἔτι ἐμπνέοντας ἐπιμελείας τυχεῖν καὶ ἰατρικῆς θεραπείας.
C 19 Διαδρὰς δέ, ὡς εἴρηται, Μαγνέντιος τούς τε περισωθέντας ἐκ τῶν οἰκείων ἤθροιζε καὶ ἄλλους συνέλεγε καὶ αὖθις
20 ἐπαναλαμβάνειν ἑαυτὸν ἐπειρᾶτο. ἔστειλε δὲ καὶ πρὸς τὸν Κωνστάντιον συγκλητικόν τινα πρεσβεύσοντα, ὃν ὁ Κωνστάντιος οἰηθεὶς τῷ τῆς πρεσβείας ὀνόματι κατασκοπήσοντα καὶ τὰ κατ'
21 αὐτὸν περιεργασόμενον, περιώρισεν. ὁ δὲ Μαγνέντιος ἐπισκόποις αὖθις εἰς πρεσβείαν ἐχρήσατο, συγγνωμονηθῆναι ζητῶν,
22 ἵν' ἐν στρατιώτου μοίρᾳ τῷ βασιλεῖ συστρατεύοιτο. ἀλλ' οὐδὲν πρὸς τὴν πρεσβείαν ταύτην ἀνταπεκρίνατο ὁ Κωνστάντιος, ἀφῆκε
23 δὲ τοὺς πρέσβεις ἀπράκτους ἀπελθεῖν. κἀκεῖνος ἀπῄει κινήσας D III 19

1 χαλεπὸν πάθος ἡ πλεονεξία E 8 ὅτι καὶ αὖθις πρὸς πόλεμον ὁ Μαγνέντιος ἡτοιμάζετο C

1 χιλιάδες BEwp ἀριθμῷ οὐ μένων D, corr. Dw 3 ταῖς in D ita est exaratum, ut videatur notatum esse lineola infra apposita; ideo add. Dw in marg. iterum ταῖς τέσσαρσιν RwpDi, τέσσαρσι A, v. ad XIII 1, 5 4 μὲν om. D 8 ὁ ante μαγνέντιος add. Rwp 9 ἤθροιζε Dw, corr. p 10 πρὸς ante ἑαυτὸν add. E 11 πρεσβεύσοντα AR, πρεσβεύσοντ (a suprascr.) D, inde perperam πρεσβεύσαντα wp 12 κατασκοπήσαντα D, corr. Dw post κατασκ. add. ἥκειν RwpDi 13 περὶ ἐργασόμενον A, περιεργαζόμενον D, corr. Dw 15 στρατεύοιτο E 17 ἐπανελθεῖν Owp

18 periisse quattuor et viginti milia. Illico igitur interfectos quidem sepulcro dignari cunctos iussit sive suos sive hostes, adhuc spirantes autem curae participes fieri ac diligentiae medicorum.
19 Elapsus, ut dictum est, Magnentius et salvos suos colligebat
20 et alios conquirebat et denuo recuperare vires conabatur. Atque misit etiam ad Constantium senatorem quendam legatum, quem Constantius ratus legationis nomine exploraturum suisque
21 rebus se immisturum expulit. At Magnentius episcopis rursus legatis missis veniam impetrare studuit, ut pro milite sub eo
22 rege militaret. Neque vero quicquam legationi huic respondit
23 Constantius, sed dimisit legatos, ut re infecta redirent. Tum ille abiit moto exercitu multis, qui sub Magnentio meruerunt, defi-

τὸ στράτευμα, καὶ πολλοὶ τῶν ὑπὸ Μαγνέντιον αὐτῷ προσήεσαν
ἑαυτούς τε καὶ τὰ φρούρια ἐγχειρίζοντες. Μαγνέντιος δὲ ἀπο- 24 D
γνοὺς τοῦ συγγνώμης τυχεῖν πρὸς πόλεμον ἡτοιμάζετο καὶ ἐν
Γαλλίαις διάγων πλήθη συνήθροιζεν. ἵνα δὲ φροντίσι περι- 25
βάλῃ τὸν αὐτοκράτορα καὶ ἐξ ἑαυτοῦ ἀντιπερισπάσῃ πρὸς ἕτερα,
ἔπεμψέ τινα τῶν ἑαυτῷ οἰκείων εἰς Ἀντιόχειαν, ἀναιρήσοντα
τὸν Γάλλον. καὶ ὁ πεμφθεὶς διὰ τὸ ἀνύποπτον εἰς καλύβην 26 W III 16
τινὸς κατέλυσε γραὸς παρὰ τῷ Ὀρόντῃ ποταμῷ πεπηγμένην
(ὃς Ὀφίτης πρῴην καλούμενος, ὥς τινες ἱστοροῦσιν, Ὀρόντης
ἐπεκλήθη μετέπειτα, τοῦ υἱοῦ Καμβύσου τοῦ Περσῶν βασιλέως
εἰς αὐτὸν ἐμπεσόντος, καλουμένου Ὀρόντου) — ἤδη γοῦν παρὰ 27
τοῦ Μαγνεντίου σταλεὶς τὴν κατὰ τοῦ Γάλλου ἐξαρτύσας ἐπι-
βουλὴν καὶ πολλοὺς τῶν ἐκεῖ προσποιησάμενος ὁπλιτῶν, ἑσπέ-
ρας παρὰ τῇ τῆς γραὸς καλύβῃ τῶν συνιστόρων τισὶ συνδειπνῶν
ἀδεέστερον αὐτοῖς ὡμίλει περὶ ὧν ἐβουλεύοντο, καταφρονῶν P II 18 A
τῆς γραὸς ὡς ἀπράγμονος καὶ μηδὲ συνιείσης διὰ τὸ γῆρας
τῶν λεγομένων. ἡ δὲ φύσεως, ὡς ἔοικεν, ἐντρεχεστέρας τυγ- 28

4 ὅτι ἐπεβούλευσεν ὁ Μαγνέντιος τῷ Γάλλῳ CE   9 περὶ τοῦ Ὀρόντου ποταμοῦ C, περὶ ποταμοῦ τοῦ Ὀρόντου E   13 ὅπως ἐγνώσθη ἡ κατὰ (τοῦ add. E) Γάλλου ἐπιβουλή CE

1 μαγνεντίου D   3 ante τοῦ add. τὸ Dw, om. AR   4 περιβάλλῃ E, βάλη D, corr. Dw   6 ἑαυτοῦ BsDwp, corr. Dw   7 τὸν om. Rwp   8 ὀ^{τ}ρρόν D, ὀρρόντῃ wp, v. vs. 9. 11   9 ὀφίτης D   ὀρόντης RDi, ὀρρόντης A (non vs. 8) Dwp, v. XVI 26, 9. XVIII 23, 18   10 ἐκλήθη E   11 ὀρόντου RDi, ὀρρόντου ADwp   ὁ ante παρὰ add. CDwpDi   13 προςποιησόμενος C   16 μὴ δὲ A(R)wp, μὴ C   17 ἡ δὲ — p. 44, 1 λεγομένων om. B   τυχοῦσα E

cientibus ac semet ipsos et castella committentibus. Magnentius 24
autem, cum desperasset de venia impetranda, bellum parabat
et in Galliis copias colligebat. Ut autem sollicitudinibus afficeret 25
imperatorem et a se ipso averteret ad alia, misit quendam de
suis familiaribus Antiochiam, qui interficeret Gallum. Is, ne su- 26
spicionem moveret, in tugurio cuiusdam deversatus est anus apud
Orontem fluvium constructo (qui Ophites olim dictus, ut nonnulli
ferunt, Orontes nominatus est posthac, quod filius Cambysis Per-
sarum regis in eum inciderat, cui nomen erat Oronti) — a Ma- 27
gnentio igitur missus, contra Gallum paratis insidiis multisque
qui ibi erant conciliatis legionariis vesperi prope anus tugurium
una cum nonnullis consciis cenans liberius cum iis colloquebatur
de consiliis, contempta anu utpote remota a negotiis publicis ac
ne intellegente quidem prae senectute quae dicerentur. At illa 28
ingenio, ut apparet, praedita callidiore, quamvis videretur verba

χάνουσα ἐῴκει μὲν μηδ' ἀκούειν τῶν λεγομένων, πάντα δὲ
29 συνετήρει καθ' ἑαυτήν. καὶ ἐπεὶ ὁ ξένος αὐτῆς οἰνωθεὶς ὕπνω-
σεν, ἐκείνη λάθρᾳ τῆς καλύβης ὑπεξελθοῦσα παρὰ τὴν πόλιν
30 ἀφίκετο καὶ πάντα καταγγέλλει τῷ Καίσαρι. παρ' οὗ σταλέν-
τες τινὲς συνέσχον αὐτοῦ τὸν ἐπίβουλον, ὃς ἐν ἀνάγκῃ κατα-
31 στὰς τὸ ἅπαν δρᾶμα ἐξέφηνε. καὶ οὕτω τὴν ἐπιβουλὴν ὁ Γάλ-
λος διέφυγεν, ἐκεῖνον κολάσας καὶ τοὺς ἐκείνῳ συνίστορας.
B 9 Τούτων οὕτω συμβεβηκότων ὁ Μαγνέντιος αὖθις πρὸς
μάχην ηὐτρέπιστο καὶ συμβαλὼν τοῖς τοῦ Κωνσταντίου ἡττᾶται D III 200
2 καὶ φεύγει. οἱ γοῦν αὐτῷ συμφυγόντες στρατιῶται, ἐπεὶ μη-
δαμόθεν ἑώρων αὐτοῖς σωτηρίας ἐλπίδα περιλιπῆ, καὶ μάταιον
κρίναντες κινδυνεύειν ὑπὲρ ἀπεγνωσμένου ἀνδρός, ἐκδοῦναι
3 αὐτὸν τῷ βασιλεῖ ἐβουλεύσαντο. καὶ περιστάντες τὴν οἰκίαν,
ἔνθα κατέκειτο, ἐν σχήματι φρουρῶν ἐφρούρουν αὐτόν, ἵνα μὴ
4 λάθῃ σφᾶς ἐκφυγών. ὡς δ' ἔγνω τὴν αὐτῶν διάνοιαν ὁ Μα-
γνέντιος καὶ ἐν ἀφύκτοις ἑαυτὸν περιειλημμένον, ἐξ ἀπονοίας
μεμηνότος ἔργον, ὡς λόγος, εἰργάσατο, τοὺς μεθ' ἑαυτοῦ πάν-
τας συγγενεῖς τε καὶ φίλους ἀνῃρηκώς· εἶτα καὶ Δισιδερίῳ τῷ

8 ὅτι καὶ αὖθις (ἄκων E) ἡττήθη ὁ Μαγνέντιος καὶ ἑαυτὸν διεχρήσατο CE
18 ὅτι μόναρχος ὁ Κωνστάντιος κατέστη CE, καὶ ὁλοκλήρου τῆς ἀρχῆς γέγονεν ἐγκρατής C

3 περὶ D, corr. Dw 5 ἐν om. B_1 6 δράμα ARwp, corr. *Di* ὁ om. E 7 post ἐκεῖνον add. τε C ἐκείνου Owp, v. XIII 6, 2 11 καὶ om. Owp 14 κατέκειτο A, κατήγετο Rwp 15 διαλάθῃ sed δια ut falsum notatum D δ' ἔγνω ARwp, ἔγνω D (add. δὲ Dw), δὲ omisso ἔγνω *Di* 16 περιειλημένον (sic) A post ἀφύκτοις add. ἔγνω Rwp*Di* 18 τε om. Dwp

29 ne audire quidem, omnia memoria tenebat cumque hospes vino
gravis obdormisset, clam e tugurio egressa ad urbem venit et
30 omnia nuntiat Caesari. A quo missi nonnulli ceperunt insidia-
31 torem, qui tormentis adductus totam fabulam enuntiavit. Atque
ita insidiis evitatis Gallus illum punivit illiusque conscios.
9. His rebus ita gestis Magnentius denuo pugna parata
2 congressus cum militibus Constantii vincitur et fugit. Sed mi-
lites, fugae socii, cum nulla ex parte viderent sibi salutis spem
relinqui, supervacaneum rati pericula subire pro desperato ho-
3 mine, tradere eum regi constituerunt. Itaque cum circumstetis-
sent domum, ubi iacebat, modo custodiarum custodiebant eum,
4 ne clam se effugeret. Magnentius autem, cum perspexisset eorum
consilium nec esset ignarus angustiis inevitabilibus se undique
teneri, desperatione incitatus hominis furiosi facinus, ut ferunt,
fecit, quos secum habebat omnibus cognatis et amicis interfectis;

ἀδελφῷ πληγὰς πολλὰς διὰ ξίφους ἐπήνεγκεν, οὐ μέντοι τις C
αὐτῶν θανάσιμος ἦν. καὶ ταῦτα πράξας καὶ ἑαυτὸν ἀνεῖλεν, 5
ἵνα μὴ παραδοθῇ πρὸς τῶν αὐτὸν φυλασσόντων Κωνσταντίῳ
τῷ αὐτοκράτορι καὶ χρονιώτερον κολασθῇ. καὶ Δεκέντιος δὲ 6
ὁ ἀδελφὸς αὐτοῦ, ὃν προεχειρίσατο Καίσαρα, ἐν Γαλλίαις ὢν
καὶ πρὸς τὸν ἀδελφὸν ἑτοιμαζόμενος ἀφίξεσθαι σύμμαχος, ὡς
τὸν ἐκείνου ἐπύθετο ὄλεθρον, ἀπογνοὺς ἀγχόνῃ ἐχρήσατο. ὁ 7
δὲ παρὰ τοῦ Μαγνεντίου πληγὰς δεξάμενος ἐκείνου ὁμαίμων
ὁ Δισιδέριος, τὸν θάνατον ἐκφυγὼν καὶ ἀναρρωσθεὶς ἀπὸ τῶν
πληγῶν, τῷ Κωνσταντίῳ προσῆλθεν ἐθελοντής. οὕτω δὲ τῆς 8
τοῦ Μαγνεντίου τυραννίδος διαλυθείσης, ὅσα ἐκεῖνος κατεῖχε, D
καὶ ταῦτα ὑπὸ τὸν Κωνστάντιον γέγονε, καὶ ὁλοκλήρου τῆς
πατρικῆς ἀρχῆς μόνος γέγονεν ἐγκρατής.
Τὰ μὲν οὖν ἑσπέρια εἰρήνην ἦγον ἐντεῦθεν· τὰ δὲ τῆς 9
ἑῴας ἐταράττετο μοίρας. ὁ Γάλλος γὰρ τῷ εὐτυχήματι ἐπαρ- 10
θείς, ἐπεὶ ἐν Ἀντιοχείᾳ ἐγένετο, βαρὺς τοῖς ὑπ' αὐτὸν προσε-
φέρετο, κακουμένοις πολυειδῶς πρὸς αὐτοῦ, ἔχοντος καὶ τὴν
D III 201 ὁμόζυγα πρὸς τοῦτο αὐτὸν ἐρεθίζουσαν. δείσας οὖν ὁ Κων- 11

15 ὅπως ὁ Γάλλος ὑπερεφρόνησε καὶ τοὺς συγκλητικοὺς ἀνεῖλεν ἄνδρας, καὶ αὐτὸς τῆς τοῦ Καίσαρος ἀξίας ἐξέπεσε καὶ τῆς ζωῆς ἐστερήθη ἀναιρεθείς C ἀναίρεσις Γάλλου E

1 πολλὰς πληγὰς DEwp 12 τὸν Dw, τῶν D 16 ante βαρὺς add. καὶ B 17 ἔχων D 18 ὁμόζυγον DEwp

**tum etiam Desiderio fratri vulnera multa gladio inflixit, nullo
tamen de iis mortifero. Quibus rebus factis et ipse mortem sibi 5
conscivit, ne traderetur ab iis qui se custodirent imperatori Con-
stantio ac longiore poena afficeretur. Decentius autem frater 6
eius, quem praedicaverat Caesarem, cum in Galliis ad fratrem
pararet proficisci socius, illius cognito interitu desperatus laqueo
vitam finivit. Desiderius autem, illius frater, a Magnentio vul- 7
neribus acceptis cum mortem effugisset et convaluisset de vul-
neribus, ad Constantium transiit sua sponte. Sic Magnentii 8
tyrannide deleta quaecunque ille occupaverat, ea quoque in
Constantii potestatem venerunt, ita ut integro paterno imperio
solus potiretur.
Inde pacatus erat occidens; sed partes orientis turbabantur. 9
Gallus enim rebus secundis elatus cum Antiochiam venisset, 10
aspere suos tractabat multis modis vexatos, quia etiam a coniuge
ad hanc rem incitabatur. Veritus igitur Constantius, ne sollici- 11
tarentur ad defectionem homines ab illo vexati atque intestinum
bellum sibi esset gerendum, Domitianum, virum illustrem et**

στάντιος μὴ κινηθεῖεν εἰς ἀποστασίαν οἱ ὑπ' ἐκείνου κακού-
μενοι καὶ ἐμφυλίου πολέμου δεήσῃ αὐτῷ, Δομιτιανόν, ἄνδρα
ἐπιφανῆ τε καὶ γηραιόν, ἔπαρχον πραιτωρίων, προχειρισάμενος
εἰς Ἀντιόχειαν ἔστειλεν, ἐντειλάμενος τῷ ἀνδρὶ ἐν ἀπορρήτοις
εὐφυῶς πως τὸν Γάλλον ὑπελθεῖν καὶ πεῖσαι ἀφίξεσθαι πρὸς
P II 19 A 12 *αὐτόν. ὁ δὲ εἰς Ἀντιόχειαν παραγεγονὼς καὶ πάνυ ἀδεξίως*
τὸ πρᾶγμα μετεχειρίσατο, ἀναφανδὸν ἐπιτάξας τῷ Καίσαρι πο-
ρεύεσθαι πρὸς τὸν αὐτοκράτορα καὶ ἀπειλήσας, εἰ μὴ πείθοιτο,
W III 17 13 *τὰς σιτήσεις τῶν ὑπ' αὐτὸν ἐπισχεῖν. τούτοις εἰς θυμὸν ἐκεῖ-*
νος παροξυνθείς, καὶ ἄλλως εὐκίνητος ὢν πρὸς ὀργήν, συνέσχε
14 *τὸν ἔπαρχον καὶ φρουροὺς αὐτῷ στρατιώτας ἐπέστησε. Μον-*
τίου δὲ τοῦ κοιαίστωρος αἰτιωμένου τὴν πρᾶξιν καὶ εἰς σαφῆ
τυραννίδα ταύτην ἀνάγεσθαι λέγοντος, ἔτι χαλεπήνας ὁ Καῖσαρ,
ἀλλὰ καὶ πρὸς τῆς γυναικὸς ἐξαφθεὶς εἰς ὀργὴν ὡς καταφρο-
νούμενος, καὶ αὐτὸν ὑπὸ δεσμοῖς ἐποιήσατο τὸν κοιαίστωρα
15 *καὶ τοῖς στρατιώταις καὶ ἄμφω παρέδωκεν. οἱ δὲ ἄμφω τὼ*
B *ἄνδρε συνδήσαντες ἔσυραν διὰ τῆς ἀγορᾶς καὶ ᾐκίσαντο καὶ*
τέλος ἐνέβαλον εἰς τὸν ποταμὸν καὶ διέφθειραν.
16 *Ταῦτα μαθὼν ὁ Κωνστάντιος ἔπεμψε τοὺς ἄξοντας τὸν*

1 *εἰ* post *μὴ* coniectura add. *Di* 2 *καὶ* ante *ἐμφυλίου* add. Rwp, om. A*Di* *δεήσοι* vel *δεήσαι* Dw *δομετιανόν* CDEwp 3 *τῶν* ante *πραιτωρίων* add. Dwp, sed v. ad XIII 10, 22 5 *πῶς* Awp, *πως* O*Di*, *πρὸς* E 7 *καὶ σαρι* D 9 *αὐτὸν* Rwp*Di*, *αὐτῶν* A, v. ad XIII 10, 11 *εἰς θυμὸν* om. D 10 post *ἄλλως* add. *ὡς* E *κατέσχε* Owp 12 *κοιαίστορος* Dwp, v. vs. 15 13 *ταύτην* init. vers. om. E 14 *εἰς ὀργὴν ἐξαφθεὶς* Rwp *καταφρουνούμενος* D, corr. Dw 15 *κοιαίστορα* Dwp 16 post *δὲ* add. *καὶ* E 18 *ἐνέβαλον* Rwp*Di*, *ἐνέβαλλον* A 19 *ἄξοντας* AR, *ἕλξοντας* Dwp *τὸν* om. B

senem, praefectum praetorio, elegit et Antiochiam misit iussum
opportuna quadam ratione Gallum secreto adire eique persua-
12 dere, ut veniret ad se. Qui cum Antiochiam venisset, vel im-
peritissime rem egit, aperte iusso Caesare proficisci ad impera-
torem ac minatus, nisi obtemperaret, se commeatu eos, quibus
13 ille imperaret, interclusurum. Is, per se facile praeceps ad ra-
biem, his rebus ad iram incitatus cepit praefectum militibusque
14 ad custodiendum tradidit. Cum autem Montius quaestor crimini
daret rem ac manifestae tyrannidis hunc esse fontem diceret,
iratus Caesar atque insuper ab uxore inflammatus ad iram, quasi
sperneretur, ipsum quoque in vincula coniecit quaestorem et
15 militibus ambos tradidit. Qui cum ambos illos viros vinxissent,
tractos per forum et cruciatos denique iniecerunt in fluvium et
interfecerunt.
16 Quibus rebus cognitis Constantius misit, qui ducerent Gal-

Γάλλον ὡς ἑαυτόν. ὁ δὲ τὴν γυναῖκα προέπεμψεν ἐξευμενι- 17
σομένην τὸν ἀδελφόν· ἣν ὁδοιποροῦσαν ἔτι τὸ τέλος ἐκ νόσου
κατέλαβε τῆς ζωῆς. γνοὺς οὖν τὸν τῆς ἀδελφῆς ὁ Κωνστάν- 18
τιος θάνατον αὐτίκα στείλας γυμνοῖ τὸν Γάλλον τοῦ ἀξιώματος
καὶ ὑπερόριον τίθησιν. εἶτα στέλλει καὶ τοὺς αὐτὸν ἀναιρήσον- 19
τας, παρὰ τῶν περὶ αὐτὸν πρὸς τοῦτο ἐρεθισθείς. μεταμελη- 20
III 202 θεὶς δ' αὖθις ἑτέρους στέλλει τοὺς εἴρξοντας τὴν ἀναίρεσιν·
οὓς ἀνέπεισαν οἱ τῷ Γάλλῳ ἐχθραίνοντες, καὶ μᾶλλον ὁ εὐ-
νοῦχος Εὐσέβιος, τὴν τοῦ πραιποσίτου διέπων ἀρχὴν καὶ μέγα C
παρὰ τῷ Κωνσταντίῳ δυνάμενος, μὴ πρότερον ἀπαγγεῖλαι τοῖς
τὸν Γάλλον ἐνταλθεῖσι κτανεῖν τὴν βασιλικὴν μεταμέλειαν πρὶν
ἂν γνοῖεν ἀνῃρημένον τὸν ἄνθρωπον.

Ὁ μὲν οὖν ἀνῄρητο· τῶν πέραν δὲ τοῦ Ῥήνου βαρβάρων 21
ταῖς Γαλλίαις ἐπικειμένων, ἐκπέμπεται Σιλβανὸς ἀνακόψων αὐ-
τῶν τὰς ὁρμάς, ἀνὴρ στρατηγικώτατος καὶ ἄριστος τὰ πολέμια.
διαβολαῖς δὲ κατ' αὐτοῦ πιστεύσας ὁ βασιλεύς (εἶχε γὰρ ἐπι- 22
κλινεῖς τὰς ἀκοὰς πρὸς διαβολάς) ἐβυσσοδόμευε δεινὰ κατὰ τοῦ
ἀνδρός. ὁ γνοὺς ἐκεῖνος πρὸς ἀποστασίαν ἀπέκλινε καὶ σχῆμα 23

18 ἀποστασία Σιλβανοῦ καὶ ἀναίρεσις CE

1 ὡς AR, εἰς BsDwp   3. 4 θάνατον post ἀδελφῆς C   5 περιόριον B   6 αὐτῶν D, corr Dw   πρὸς AR, ἐπὶ E, εἰς DwpDi, v. XIII 10, 16   9 πραιπωσίτου (sic) A   μεγάλα OwpDi   10 κωνσταντίνω E   11. 12 πριν ἢ ἂν Dwp   13 ῥηνοῦ Dwp   14. 15 αὐτῶν τὰς ARwp, τὰς τούτων E   15 στρατηκώτατος D, corr. Dw   16 δὲ om. C   17 ἀκοὰς πρὸς om. C   ἐβυσοδόμευε D, corr. Dw

lum ad se. Sed ille uxorem praemisit, quae benevolum redderet 17
fratrem; ea vero in itinere morbo periit. Cognita igitur sororis 18
morte Constantius illico mittit et Gallum dignitate privatum ex
civitate exterminat. Tum mittit etiam qui eum tollerent, ab iis 19
quos circum se habebat ad hanc rem incitatus. Cuius rei cum 20
eum paenituisset, rursus alios mittit, qui impedirent eius necem;
quibus persuaserunt Galli inimici ac potius Eusebius eunuchus,
qui praepositi fungebatur munere multumque apud Constantium
valebat, ne ante nuntiarent iis, qui Gallum interficere iussi erant,
regem paenitere quam cognossent sublatum esse hominem.

Ille igitur ita interfectus est; cum autem transrhenani bar- 21
bari Gallias vexarent, mittitur Silvanus, ut reprimeret eorum im-
petus, vir rei militaris peritissimus et optimus imperator. Ca- 22
lumniis autem contra eum dictis cum fidem tribuisset rex (erat
enim pronis auribus ad calumnias), clandestinis consiliis operam
dedit contra hunc hominem. Qua re cognita ille ad defectio- 23
nem avertit et habitum Caesaris sibi induit; neque tamen diu-

Καίσαρος ἑαυτῷ περιέθετο· οὐκ ἐπὶ μακρὸν δὲ τῇ ἀποστασίᾳ
D 24 ἐχρήσατο. σταλεὶς γὰρ Οὐρσικῖνος ἐκεῖ καὶ χρήμασι τῶν ἐκεί-
νου στρατιωτῶν τινας ὑποφθείρας, δι' ἐκείνων ἀνεῖλε τὸν Σιλ-
βανὸν καὶ τὴν ἀποστασίαν κατέπαυσε.
25 Τῷ μέντοι Κωνσταντίῳ ἀναζευγνύντι ἀπὸ τῶν ἑσπερίων
καὶ ἐπανιόντι πρὸς τὸ Βυζάντιον ἐκ τῶν Περσῶν πρέσβεις περὶ
τὸ Σίρμιον συνηντήκασιν, ἐσταλμένοι παρὰ Σαπώρου, ἀπαι-
τοῦντος ἀποδοθῆναι Πέρσαις τὴν Μεσοποταμίαν καὶ Ἀρμενίαν,
26 ἵν' οὕτω παύσαιντο Ῥωμαίοις μαχόμενοι· ταύτας γὰρ τὰς χώρας
27 ἀνέκαθεν ἐκ προγόνων αὐτοῖς διαφέρειν· εἰ δ' οὐ πείθοιτο,
δηλοῦντος τῷ αὐτοκράτορι ὑπὸ τῷ Ἄρει δικαστῇ ποιήσασθαι
28 τὴν τῆς ὑποθέσεως ζήτησιν. πρὸς ταῦτα ἀνταπέστειλεν αὐτῷ
ὁ Κωνστάντιος θαυμάζειν, εἰ ἐπελάθετο, ὅτι Πέρσαι Μακεδόσιν
P II 20 A ἐδούλευσαν καὶ ὅτι Μακεδόνων Ῥωμαίοις ὑποταγέντων καὶ οἱ
29 ἐκείνοις δουλεύοντες ὑπήκοοι Ῥωμαίοις ἐγένοντο. τούτοις ὁ
Σαπώρης παροξυνθεὶς πρὸς πόλεμον ἀπεῖδε. καὶ αὖθις εἰς D III 20
30 πολιορκίαν κατέστη Νισίβεως. ὡς δ' οὐδὲν ἐπέραινε κατ' αὐ-
31 τῆς, ἀπέστη καὶ ἑτέρων ἀπεπειρᾶτο. ὡς δὲ κἀκείνων ἀπε-
κρούσθη, εἰς Ἄμιδαν κατηντήκει καὶ ταύτης ἐκράτησε.

5 ὅσα ὁ Σαπώρης τῷ Κωνσταντίῳ ἐπέστειλε (ἀπέστειλεν E) καὶ ὅσα ὁ Κωνστάντιος αὖθις ἐκείνῳ CE

1 μακρὰν E, v. ad XVIII 22, 17   2 οὐρσικίνος (sic) A   7 τὸ Dw, τὸν D   ἀπεσταλμένοι CDw   10 πείθοιο CDw   12 ἀντάπέστειλεν A, ἀνταπέστειλεν DE, ἀντεπέστειλεν RDi, v. XIV 7, 20. 17, 6. XV 28, 37

24 turna erat defectio. Illo enim missus Ursicinus per nonnullos
de illius militibus pecunia corruptos sustulit Silvanum et defe-
ctionem sedavit.
25 Constantio tamen redeunti ex occidente Byzantium versus
Persarum legati prope Sirmium occurrerunt missi a Sapore po-
stulante, ut redderetur Persis Mesopotamia et Armenia, ut ita
26 desisterent ipsi cum Romanis bella gerere; has enim terras an-
27 tiquitus inde a maioribus ad se pertinere; si vero non obseque-
retur, Saporem significare imperatori Martis arbitrio se per-
28 missurum esse rei quaestionem. Inde legatos vicissim misit ei
Constantius se admiratione teneri, si oblitus esset Persas Mace-
donibus servisse et Macedonibus Romanis subactis illorum ser-
29 vos quoque subiectos Romanis factos esse. His rebus Sapor
inflammatus ad bellum animum attendit. Denuo ad Nisibim ob-
30 sidendam sese convertit. Cum autem nihil proficeret contra hanc
31 urbem, abiit aliasque urbes tentabat. Sed ab illis quoque repul-
sus Amidam profectus est eamque cepit.

Κωνστάντιος δὲ μὴ οἷός τε ὢν τὴν ὅλην διευθύνειν μόνος 10
ἀρχήν, τοσαύτην οὖσαν ὡς ἐξ ἄκρων σχεδὸν περάτων γῆς εἰς
ἄκρα πέρατα καταντᾶν, ἐξ Ἀθηνῶν τὸν τοῦ Γάλλου ὁμαίμονα
τὸν Ἰουλιανὸν μετακαλεσάμενος Καίσαρά τε ἀνεῖπε καὶ Ἑλένην
αὐτῷ τὴν οἰκείαν συνῴκισεν ἀδελφήν. λέγεται δὲ τῇ μητρὶ 2 B
αὐτοῦ κυούσῃ αὐτὸν ἐνύπνιον γενέσθαι καὶ δόξαι τὸν Ἀχιλλέα
τεκεῖν. ἡ δὲ διυπνισθεῖσα καὶ τὸ ὄναρ διηγουμένη τῷ ἀνδρὶ 3
ἔτεκε τοῦτον μήτ' ὠδίνων σχεδὸν ἐπ' αὐτῷ πειραθεῖσα καὶ W III 18
τεκοῦσα πρὶν ἢ γνοίη ὡς μέλλει τίκτειν. ἐντεῦθεν μεγάλας ἐπ' 4
αὐτῷ ἐσχηκότες ἐλπίδας οἱ τούτου γονεῖς Εὐσεβίῳ τῷ Νικο-
μηδείας αὐτὸν παραδεδώκασι παρ' αὐτοῦ μυηθησόμενον τὴν
θείαν γραφήν. Καίσαρα δὲ τοῦτον ἀναγορεύσας ὁ αὐτοκράτωρ 5
Κωνστάντιος εἰς Γαλλίας ἐξέπεμψε μετ' ὀλίγων πάνυ στρατιω-
τῶν, ὡς ὑπόνοιαν ἐντεῦθεν ἐγγίνεσθαι ὅτι οὐ κοινωνὸν τῆς 6
ἀρχῆς ὁ Κωνστάντιος εἵλετο τὸν Ἰουλιανόν, ἀλλ' εἰς ἐπιβουλῆς

1 ὅτι Καίσαρα τὸν Ἰουλιανὸν ἀνεῖπε Κωνστάντιος (ἀνεῖπεν ὁ κ. E) καὶ τὴν ἀδελφὴν Ἑλένην (ἑλένην E, v. ad XIII 1, 2) αὐτῷ συνέζευξεν CE

1 οἷός (sic) ὢν D 1. 2 διευθύνειν τὴν μόνος τὴν ὅλην ἀρχήν· E 2 τῆς ante γῆς add. R 4 εἶπε E ἑλένην O^{s}w, ἐλένην AE, v. ad XIII 1, 2 6 ἀνύπνιον D δόξε E ἀχιλέα (sic) A 7 δι' ὑπνισθεῖσα AD, corr. D$_w$ 8 μηδ' *Di*, sed v. Wineri *Gr. d. neut. Sprachid.* § 55, 7 et Frankii de usu part. οὐδὲ et οὔτε Rintel. 1833 p. 18 σχεδὸν ἐπ' αὐτῶ AR(wp), ἐν αὐτῶ σχεδὸν E 9 πρινὴ (sic) A τεκεῖν E 9. 10 μεγάλας ἐπ' αὐτῷ AR, ἐπ' αὐτῷ μεγάλας ED$_w$wp 10 ἐλπίδας om. D, add. D$_w$ 11 post παραδεδώκασιν (sic) add. ὡς E 13 κωνστάντιος om. C 13. 14 μετ' ὀλίγων πάνυ στρατιωτῶν εἰς γαλλίας ἐξέπεμψεν (sic), ὡς E 15 τὸν ἰουλιανὸν ὁ κωνστάντιος εἵλετο Rwp ἐπιβουλῆς ARwp, ἐπὶ βουλῆς E

10. Constantius autem, cum non posset totum gubernare solus imperium tantum, ut ab extremis fere finibus terrae ad extremos fines pertinens, Athenis Galli fratrem Iulianum arcessitum Caesarem declaravit, Helena in matrimonium data sorore.
Ferunt matrem eius praegnantem alvo eum continentem in som- 2
nis visam esse Achillem parere. Experrecta ac somnio narrato 3
marito peperit hunc neque doloribus paene vexata et foetu edito,
antequam cognosset se esse parituram. Hinc magna de eo capta 4
spe parentes Eusebio Nicomediae puerum tradiderunt erudien-
dum in sacra scriptura. Quem Caesarem declaratum imperator 5
Constantius in Gallias misit cum paucissimis militibus, ita ut non 6
abesset suspicio, quin non socium imperii Constantius sibi deligeret sed ad dissimulandas insidias ei faciendas habitu Caesaris ornaret, ut ab hostibus periret, quod non haberet vires ad

C αὐτῷ πρόφασιν τὸ σχῆμα περιέβαλε τὸ τοῦ Καίσαρος, ἵν' ὑπὸ
τῶν πολεμίων διαφθαρῇ, μὴ ἔχων δύναμιν πρὸς τὸν κατ' ἐκεί-
7 νων πόλεμον ἀξιόχρεων. ὁ δὲ ἀπελθὼν καὶ ἀγαθῇ τύχῃ χρη-
8 σάμενος συμβάλλει τοῖς πολεμίοις καὶ ἀνελπίστως νικᾷ. καὶ
αὖθις ἑαυτοὺς ἀνακτησαμένων τῶν πολεμίων, προσμίγνυται
αὐτοῖς καὶ τρόπαιον ἵστησι, πολλῶν μὲν ἀναιρεθέντων, πολλῶν
δ' ἀπολομένων ἐν τῷ παραρρέοντι ποταμῷ, καὶ ζωγρηθέντων
9 οὐκ ἐλαττόνων. ὅτε καὶ ἕνδεκα φασὶ χιλιάδας αἰχμαλώτων D III 20
Ῥωμαίων τῶν τῆς αἰχμαλωσίας ἀπολυθῆναι δεσμῶν, ἡττηθέν-
10 των τῶν πολεμίων. εἶτα καὶ Ἀλαμαννοῖς πολεμήσας καὶ κατὰ
τούτων ηὐτύχησε καὶ δεηθέντων αὐτοῦ τῷ ἔθνει ἐσπείσατο,
D λύσαντι τῆς δουλείας τοὺς παρ' αὐτοῖς ὄντας δορυαλώτους Ῥω-
μαίους.
11 Τούτοις οὖν ὁ Καῖσαρ Ἰουλιανὸς ἐπαρθεὶς καὶ ὑπερφρο-
νήσας, ὡς δ' ἔνιοι συνεγράψαντο, ὅτι καὶ δεδιὼς τὸν Κωνστάν-
τιον βασκαίνοντά οἱ διὰ τὰ εὐτυχήματα, μὴ κατὰ τὸν ἀδελφὸν
Γάλλον καὶ αὐτὸν ὑπεξαγάγῃ τοῦ ζῆν, εἰς ἀποστασίαν ἀπεῖδε

3 ὅτι ἐν πολέμοις εὐτύχησεν Ἰουλιανός (ὁ ἰ. E) CE 14 ὅτι ἀπεστάτησεν (ἀπεσκίρτησεν ὁ E) Ἰουλιανὸς καὶ Αὔγουστος ὑπὸ (παρὰ E) τοῦ στρατοῦ ἀνηγορεύθη CE

2 κατ' om. E ἐκεῖνον D, corr. D_w 7 ἀπολλομένων AE, ἀπολομένων B (sed ομέ in rasura spatiosiore) C$D_w$wp, ἀπολλυμένων D 8 ὅτε RswpDi, ὅτι A 8. 9 ῥωμαίων αἰχμαλώτων E 9 ῥωμαίοις D, corr. D_w 10 ἀλαμαννοῖς AC (sed in C ν supra voc. ead. man. add.) $D_w$wp, ἀλαμανοῖς R 11 εὐτύχησε BC, εὐτυχῆσαι E, v. XIII 9, 1. 11, 4 et ad XIII 13, 1 αὐτῶν Dwp 12 δοριαλώτους Di, v. ad XIII 8, 3 14 καίσαρ ACDE, v. ad XIII 8, 5 17 ὑπεξάγῃ E

7 bellum contra illos gerendum satis idoneas. At ille cum abiisset
et prospere rem gessisset, concurrit cum hostibus et praeter
8 spem vincit. Tum hostes recreatos denuo aggreditur et tro-
paeum ponit, multis occisis et multis submersis in fluvio prae-
9 terfluente et captis haud paucioribus. Quo tempore etiam un-
decim dicunt milia captivorum Romanorum captivitatis soluta
10 esse vinculis victis hostibus. Tum etiam bello cum Alamannis
gesto contra hos quoque rem prospere gessit illisque a se petentibus cum populo pacem fecit, cum solvisset servitute qui apud eos erant capti Romani.
11 His igitur rebus Caesar Iulianus elatus ad superbiam, ut vero nonnulli tradiderunt, etiam veritus, ne Constantius invidens rebus suis bene gestis eadem ratione qua fratrem Gallum se quoque privaret vita, defectionem molitur et per nonnullos de suis tribunis sibi conciliatis exercitum incitavit, ita ut milites,

*καί τινας τῶν ὑπ' αὐτὸν ταξιαρχῶν ὑπελθὼν δι' ἐκείνων τὸ
στρατιωτικὸν παρεκίνησε, καὶ συστὰν ἀνεῖπεν αὐτὸν Αὔγουστον.
εἶτα ξιφήρεις ἐπιστάντες αὐτῷ, ὡς δῆθεν μὴ προσιεμένῳ τὴν* 12
*τῆς βασιλείας ἀνάρρησιν, ἠπείλουν διαχειρίσασθαι αὐτόν, εἰ μὴ
πείθοιτο. οὕτω δὲ τάχα καὶ ἄκων τῇ τοῦ στρατιωτικοῦ πλή-* 13
θους ὑπείξας ὁρμῇ, προσήκατο τὴν ἀρχήν. ζητουμένου δὲ 14
*διαδήματος, ἵν' αὐτίκα τούτῳ ταινιωθείη, ἐκεῖνος μὲν μὴ ἔχειν
ἐξώμνυτο· τινῶν δὲ κόσμον αἰτούντων γυναικεῖόν τινα, ἵν' ἐκ* P II 21 A
*τούτου σχεδιασθείη διάδημα, παρῃτήσατο τοῦτο ὁ Ἰουλιανὸς ὡς
ἀπαίσιον οἰωνόν. ἐπεὶ δέ τις τῶν ταξιάρχων χρύσεον ἐφόρει* 15
*στρεπτόν, λίθους ἔχοντα χρυσοδέτους, τοῦτον λαβόντες τῇ ἐκεί-
νου προσήρμοσαν κεφαλῇ. ὁ δὲ Πεντάδιον τὸν μάγιστρον τῶν* 16
*βασιλικῶν τάξεων σὺν ἑτέροις ἀπέστειλε πρὸς Κωνστάντιον,
ἐπιστείλας αὐτῷ καὶ ἀπολογούμενος, ὡς οὐχ ἑκὼν προήχθη
πρὸς τὴν τῆς βασιλείας ἀνάρρησιν, βιασθεὶς δ' ὑπὸ στρατιω-
τῶν μὴ βουλομένων στρατεύεσθαι ὑπὸ Καίσαρι, ἀλλ' ὑπὸ βα-*

12 *οἷα τῷ Κωνσταντίῳ ἐπέστειλεν Ἰουλιανός* C

1 *αὐτῶν* E, v. XIII 8, 23. 9, 10. 12. XIV 4, 8. 28, 3 cet. *ταξιαρχῶν* ARwp, *ταξιάρχων Di*, v. I p. 196, 19. XIII 13, 9. XIV 4, 8. Est igitur Zonarae et *ταξίαρχος* et *ταξιάρχης*. V. ad XIV 7, 26 *ἐκείνων* R^{s}wp*Di*, *ἐκεῖνον* A 2 *συστᾶν* (sic) AE 4 *δισχειρίσασθαι* C, *διαχρήσασθαι* E 9 *τούτων* Dwp *τοῦτο* et *τούτῳ* per dittogr. C 10 *τις τῶν ταξιάρχων* (*ταξιαρχῶν* BE) *χρύσεον* AR, *χρύσεόν τις τῶν ταξιαρχῶν* Dwp 12 *προσήρμουσαν* D, corr. D_{w}, *προσόρμησαν* (sic) A 13 *τὸν* ante *κωνστ.* add. E 15 *πρὸς* AB^{s}Dwp, *εἰς* R, v. XIII 9, 19 post *ὑπὸ* add. *τῶν* DEwp*Di* (sed idem Dindorfius *τῶν* vult omitti vol. V p. 240)

cum conspirassent, salutarent eum Augustum. Tum postquam 12
cum gladiis accesserunt ad eum quasi non accepturum regis
appellationem, minabantur se perfossuros esse eum, si non ob-
temperaret. Sic autem fortasse etiam invitus, exercitus multitu- 13
dinis cum cessisset impetui, accepit imperium. Cum autem quae- 14
reretur diadema, quo illico coronaretur, ille se non habere iurabat,
sed nonnullis ornatum postulantibus muliebrem quendam, ut ex
hoc fieret diadema, deprecatus est Iulianus, ut infaustum omen
evitaretur. Cum autem unus de tribunis aureum ferret torquem 15
lapidibus ornatum auro circumclusis, hunc illius accommodaverunt
capiti. Tum ille Pentadium magistrum regiarum legionum cum 16
aliis misit ad Constantium litteris datis, quibus se purgaret, se
non sua sponte esse impulsum ad regis appellationem sed co-
actum esse a militibus nolentibus stipendia facere sub Caesare

σιλεῖ καὶ ἵν' ἔχοιεν ἐξ αὐτοῦ ἀξίας τῶν πόνων τὰς ἀμοιβὰς
17 ἀπαιτεῖν, καὶ ἀξιῶν δέξασθαι τὴν τῆς ἀρχῆς κοινωνίαν εἰς D III 20
18 ὠφέλειαν ἐσομένην τῇ πολιτείᾳ, ἐπαγγελλόμενός τε καὶ τοὺς
ἁμιλλητηρίους ἵππους ἐξ Ἰσπανίας, ὡς ἔθος, καὶ τοὺς ἐπιλέ-
B 19 κτους ἄνδρας ἐκ τῶν Γαλλιῶν στέλλειν αὐτῷ. ταῦτ' ἐπιστείλας
οὐ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιγραφῇ προσεγράψατο, ἀλλὰ Καί-
σαρα, ἵνα μὴ τῇ ἐπιγραφῇ προσοχθίσας ὁ Κωνστάντιος τὴν
20 ἐπιστολὴν ἀποπέμψηται. ταύτης τῷ βασιλεῖ Κωνσταντίῳ κο-
μισθείσης κατὰ τὴν ἐν Καππαδοκίᾳ Καισάρειαν διατρίβοντι,
21 ἐκεῖνος οὐδὲν ὑπ' ὀργῆς ἀπεκρίνατο. ἀλλὰ τὴν μὲν στρατείαν
κατὰ Περσῶν τοῖς στρατιώταις ἐκήρυξε, πρὸς δὲ τὸν Ἰουλιανὸν
Λεωνᾶν τὸν κοιαίστωρα ἔστειλεν, ἐπιστείλας αὐτῷ καὶ αἰτιώ-
μενος ὅτι μὴ ἀνέμεινε τὴν γνώμην αὐτοῦ, καὶ εἰς ὕβριν ἐκεί-
νου μᾶλλον ἀνάγων ἢ ἑαυτοῦ τὸ μὴ κρίσει τοῦ τὴν ἐξουσίαν
ἔχοντος, ἀλλ' ἀτάκτῳ θορύβῳ στρατιωτῶν δέξασθαι αὐτὸν τὴν
C τοῦ Αὐγούστου κλῆσιν, καὶ συμβουλεύων ἀποσχέσθαι τοῦ μὴ

15 *οἷα αὖθις ἐμήνυσε τῷ Ἰουλιανῷ ὁ Κωνστάντιος* CE

2 *καὶ* om. Dwp 3 *τε* ARwp, v. XIII 11, 20. 14, 10. XIV 12, 9, *δὲ* *Di* perperam; nam solet Zonaras ut Thucydides, Polybius alii particula *τε* enuntiata inter se coniungere. 4 *ἰσπανίας* A, *ἱσπανίας* R[s]wp*Di*, v. XIII 17, 9. XIV 7, 8. XV 24, 1; itaque apud Theophanem (v. ind. de Boorii s. v. *Ἱσπανία*) *Ἰσπανία* non erat scribendum. 5 *ἐτησίως* post *γαλλιῶν* add. Owp*Di*, sed v. Ammian. Marcell. XX 8, 13. Similiter addita sunt in libris recentioribus XIII 20, 3 *τοῦ ἔτους ἐκείνου* (v. ad h. l.) *ταῦτ'* ARwp, *ταῦτα δὲ* E 11 *τῶν* ante *περσῶν* add. E, v. XIII 13, 4 12 *κοιαίστορα* Dwp, corr. Dw 13. 14 *μᾶλλον ἐκείνου* E 14 *ἀνάγων ἢ ἑαυτοῦ τοῦ* A, *ἀνάγων ἢ ἑαυτοῦ τὸ* R*Di*, *ἢ ἑαυτοῦ ἀνάγων τὸ* Dwp

17 sed sub rege, a quo possent digna laboribus pretia petere; orare
18 ut acciperet imperii communionem utilem futuram civitati, polliceri se et pernices equos ex Hispania, ut mos, et electos viros
19 ex Galliis missurum esse ei. Quibus litteris scriptis non regem se in titulo ascripserat sed Caesarem, ne titulo iratus Constan-
20 tius litteras remitteret. Quae cum epistola regi Constantio lata esset Caesareae in urbe Cappadociae degentem, ille nihil prae
21 ira respondit. Sed expeditione Persica militibus nuntiata ad Iulianum Leonam quaestorem misit cum litteris ad eum datis et accusans, quod non exspectasset sententiam suam ac turpius illi esse affirmans quam sibi, quod non arbitrio eius qui imperium haberet sed confuso tumultu militum accepisset Augusti nomen et suadens, ut abstineret a nomine non rite dato et ad priorem

προσηκόντως γενομένου καὶ εἰς τὸ πρότερον ἐπανελθεῖν σχῆμα,
ὃ παρ' αὐτοῦ εἰλήφει. τῷ μέντοι κοιαίστωρι ἐπέτρεψε καὶ τοὺς 22 W III 19
τὰς ἀρχὰς ἐκεῖσε ἀνύοντας παραλῦσαι τῆς ἐξουσίας καὶ αὐτὸν
τὸν πραιτωρίων ἔπαρχον ἑτέρους τε εἰς ταύτας ἐγκαταστῆσαι,
οὓς ἐκεῖνος εἰς ἑκάστην ὠνόμασεν. ἀπελθὼν οὖν ὁ κοιαίστωρ 23
πρὸς τὸν Ἰουλιανὸν τοὺς λόγους αὐτῷ τοῦ Κωνσταντίου ἀπήγ-
γειλεν. οἱ δ' ἦσαν ὅτι "ἔδει σε μεμνῆσθαι ὅσων ὀφειλέτης μοι 24
εἶ, οὐ μόνον ὅτι σε Καίσαρα ἀνηγόρευσα, ἀλλ' ὅτι καὶ ὀρφανὸν
ἐν παιδικῇ γενόμενον ἡλικίᾳ ἀνεθρεψάμην, αὐτὸς προσλαβό-
μενος." ὁ δ' ὑπολαβὼν τῷ κοιαίστωρι ἔφη "τίς δέ μοι, ὦ 25
βέλτιστε, ἐν τοιαύτῃ ἡλικίᾳ τὴν ὀρφανίαν ἐπήνεγκεν; ἢ οὐχὶ ὁ D
D III 206 τῶν ἐμῶν γονέων φονεύς; εἶτα οὐκ οἶδε τούτων ἀναμιμνήσκων
με ἀναξαίνων τὸ τραῦμα καὶ χαλεπώτερον ἐργαζόμενος;" ἐπελ- 26
θὼν δὲ καὶ τὸ πρὸς αὐτὸν ἐπιστόλιον ὁ Ἰουλιανὸς πρὸς τὴν
συμβουλὴν τοῦ ἀποθέσθαι τὸ βασίλειον σχῆμα καὶ αὖθις ἑλέ-
σθαι τὸ Καίσαρος, ἔφη πρὸς τὸν κοιαίστωρα ὅτι "ποιήσω τοῦτο,
ἀλλὰ γνώμῃ τῶν στρατευμάτων." ὁ δέ γε κοιαίστωρ φοβηθείς, 27
ὡς, εἰ τοῖς στρατιώταις τοῦτο ἐκφήνειεν ὁ Ἰουλιανός, παρὼν

6 οἷα πρὸς τὰ τοῦ Κωνσταντίου μηνύματα ἀντέθετο (ἐντέθετο E) ὁ Ἰουλιανὸς καὶ ὅσα αὐτῷ ἐπέστειλεν CE

2. 10 κοαίστορι B^sDwp 3 παραλύσαι DEwp 4 τὸν πραιτωρίων A, τῶν πραιτωρίων R, τὸν τῶν πραιτορίων (πραιτωρίων C) CDwp, v. ad XIII 9, 11 αὐτὰς C 6 ἀπήγγελλεν C 7 ὅτι om. DE 8 σε om. Dwp 11 τοιαύτῃ A(Owp), τῇ αὐτῇ E ὁ om. DEwp 13 ἐπελθὼν RwpDi, ἐπανελθὼν A 15 τοῦ om. D, add. Dw 16 κοιαίστορα BsDwp 18 post παρὼν distinguunt p*Di

rediret habitum, quem a se accepisset. Praeterea quaestori illi 22
imperavit, ut et eos qui magistratus illic gererent privaret im-
perio ipsumque praetorio praefectum et alios quosdam, quos
Constantius ad singula munera diserte significarat, in eorum lo-
cum promoveret. Qui cum abiisset quaestor ad Iulianum, verba 23
ei Constantii detulit haec: "Oportebat te meminisse, quanta mihi 24
deberes, non solum quod te Caesarem appellavi sed quod etiam
orbum puerili aetate factum educavi ipse." Ille vero quaestori: 25
"Quis vero" inquit "optime, ea aetate orbitatis fuit auctor?
Nonne meorum parentum parricida? An ignorat se his de re-
bus me commonefacientem refricare vulnus et gravius reddere?"
Explicatis autem litteris ad se datis Iulianus de consilio depo- 26
nendi regium habitum et resumendi Caesaris quaestori "faciam
hoc" inquit "sed ex sententia legionum". Qui quidem quaestor 27
veritus, ne militibus hac re denuntiata ipse, si adesset, discer-
peretur ab iis, orabat ne quid harum rerum cum militari com-

αὐτὸς διασπασθήσεται παρ' αὐτῶν, ἐδεῖτο μή τι τούτων τῷ
28 *στρατιωτικῷ κοινώσασθαι ὄχλῳ. ἀπογνοὺς μέντοι δυνήσεσθαί τι τῶν αὐτῷ προστεταγμένων ἀνύσαι, ὑπέστρεψε μετὰ γραμμάτων τοῦ τυραννήσαντος, ἀναιδῶς ὀνειδιζόντων τὸν αὐτοκράτορα καὶ ἐπιπληττόντων ὡς πλεῖστα ἐξαμαρτόντα κατὰ τοῦ*
P II 22 A *γένους αὐτοῦ καὶ ἀπειλούντων αὐτὸν γενήσεσθαι τιμωρὸν τῶν ἀδίκως παθόντων.*

11 *Καὶ ὁ μὲν ἀπήει πρὸς τὸν Κωνστάντιον· ὁ τύραννος δὲ πολλοὺς εἰδὼς ἐν τοῖς αὐτῷ συνοῦσι τὰ Κωνσταντίου φρονοῦντας πάντας ἐκεῖθεν ἐξήλασεν, αὐτὸς δὲ πρὸς ἐμφύλιον ἡτοι-*
2 *μάζετο πόλεμον. ἐν τούτοις καὶ ἡ αὐτοῦ γυνὴ τελευτᾷ, ὡς μέν τινές φασι, τίκτουσα παρ' αὐτῷ, ὡς δ' ἕτεροι, ἤδη ἐκ-*
3 *βεβλημένη. ἐκεῖνος δὲ τοὺς στρατιώτας συναγαγὼν ἐπὶ τὸν ἐμφύλιον ἠρέθιζε πόλεμον καὶ συνεβούλευε δεῖν αὐτοὺς κατὰ τοῦ Κωνσταντίου χωρῆσαι καὶ μὴ μένειν ἐκεῖνον κατ' αὐτῶν*
4 *ἐπελθεῖν. ἤδη δὲ τὴν εἰς Χριστὸν ἐξομοσάμενος πίστιν ηὐλαβεῖτο διὰ τοῦτο τοὺς στρατιώτας, εἰδὼς σχεδὸν ξύμπαντας χρι-*
B 5 *στιανούς. διὸ συσκιάζων τὴν ἑαυτοῦ κακίαν ἕκαστον ἐκέλευε*
6 *θρησκεύειν ὡς βούλοιτο. αὐτὸς δὲ τῆς γενεθλίου τοῦ Σωτῆρος*

1 *παρ'* A, *πρὸς* Rwp *αὐτῷ* E *ἐδέετο* Owp 3 *αὐτῷ* om. E *ἀνῦσαι* D, *πληρῶσαι* B 6 *ἀπειλούντων* Rwp*Di*, *ἀπειλοῦντα* A *γενήσθαι* (sic) A 12 *ἐκβεβλημένη* (οι) D 15 *μαίνειν* E 16 *ἐξωμοσάμενος* C 17 *σύμπαντας* C, v. ad XIII 5, 1 *ὄντας* add. ante *χριστιανούς* E, post *χριστιανοὺς* Owp*Di* 18 *τὴν ἑαυτοῦ* ARwp, *ἑαυτοῦ τὴν* E, *τὴν αὐτοῦ* D

28 municaret turba. Iam cum desperasset se posse quicquam mandatorum perficere, rediit cum litteris tyranni, quibus impudenter maledixit imperatori et crimini dedit, quod permulta peccasset contra suum genus, additis minis se futurum esse vindicem eorum, qui iniuste periissent.

11. Ita ille abiit ad Constantium, tyrannus autem cum sciret multos inter eos, quos secum haberet, Constantii studiosos esse, omnibus illinc expulsis ipse intestinum parabat bellum.
2 Interea et eius uxor perit, ut nonnulli dicunt, ex partu eius domi
3 edito, ut autem alii, iam repudiata. Ille milites collectos ad intestinum incitabat bellum ac suadebat, ut ii contra Constantium proficiscerentur neque manerent illum contra se advenientem.
4 Iam autem fide Christiana eiurata cavebat ideo milites, cum
5 sciret fere omnes Christianos. Quocirca occultans suam nequi-
6 tiam unumquemque iubebat colere, ut vellet. Ipse vero, cum natalis Salvatoris dies venisset, intravit templum et veneratus,

ἡμέρας ἐφεστηκυίας εἰσῆλθεν εἰς τὸν ναὸν καὶ προσκυνήσας,
D III 207 *ἵν' ὁμόδοξος τοῖς στρατιώταις δοκῇ, ἀπῆλθεν. ἐπέστησε δὲ καὶ* 7
ταῖς ἀρχαῖς οὓς ἐκεῖνος ἠβούλετο· καὶ οὕτως ᾔει πρὸς τὸν
ἐμφύλιον πόλεμον. ἔλεγε δὲ μὴ κατὰ τοῦ Κωνσταντίου χωρεῖν, 8
ἀλλ' ἐθέλειν εἰς ἓν συνελθεῖν τὰ ἑῷα στρατεύματα καὶ τὰ
ἑσπέρια, ἵν' ὁμοῦ γενόμενα τὸν αὐτῶν ἐκλέξωνται βασιλεύσοντα.
ηὔχει δὲ καὶ προεγνωκέναι τὴν ἡμέραν καθ' ἣν τεθνήξεται ὁ 9
Κωνστάντιος, ἐν ὀνείρῳ αὐτὴν μυηθεὶς δι' ἐπῶν ταῦτα φραζόντων·

Ζεὺς ὅταν εἰς πλατὺ τέρμα μόλῃ κλυτοῦ ὑδροχόοιο, C
παρθενικῆς δὲ Κρόνος μοίρης βαίνῃ ἐπὶ πέμπτης
εἰκοστῆς, βασιλεὺς Κωνστάντιος Ἀσίδος αἴης
τέρμα φίλου βιότου στυγερὸν καὶ ἐπώδυνον ἕξει.

τέθνηκε δὲ ὁ Κωνστάντιος τὰ μὲν τῶν Περσῶν λιπὼν (ἐπεὶ 10
καὶ ὁ ἐκείνων βασιλεὺς ἐπ' οἶκον ἀνεχώρησε), κατὰ δὲ τοῦ
τυραννήσαντος ἐπιών. φροντίσι γὰρ πολλαῖς συνεχόμενος κάν- 11

1 *ὅτι κατὰ τοῦ Κωνσταντίου ἐπῄει ὁ τύραννος μήπω τὴν ἑαυτοῦ ἐκφήνας ἀσέβειαν* C   10 *σημείωσαι* A   14 *τελευτὴ Κωνσταντίου* ACE

1. 2 *καὶ προσκυνήσας* post *δοκῇ* E   3 *ἐβούλετο* RwpDi   *ἀπήει* C, *εἴη* E   4 *τοῦ* om. DwpDi, v. XIII 11, 3   5 *τὰ* ante *ἑσπέρια* om. E   6 *αὐτὸν* CDw   *ἐκλέξονται* DE, corr. Dw   *βασιλέα* EDw   8 ante *ἐν* add. *ὡς* C   10—13] De oraculo ille v. *B-W Philol.* LI p. 561 ann. 1   10 *μολῇ* AR(wp), *μόλῃ Di* Ammian. Marcell. XXI 2, 2 (v. ann. cr. Gardthauseni), *πέλῃ* Zosim. III 9, 6   11 *μοίρῃ* Ammian. (sed codicum discrepantia suadetur *μοίρης*), Zosim. (*μοίρης* videtur Mendelssohnio fuisse in Vaticano)   *βαίῃ* E   *πέμπτῃ* Ammian., *πέντε* Zosim. 12 *εἰκοστῇ* Ammian. Zosim.   13 *καὶ* add. Dw Ammian. Zosim. 15 *οἴκου* RwpDi   16 *τυραννήσαντος* RwpDi, *τυραννήσοντος* A *γὰρ* AR, *δὲ* Dwp

ut eiusdem fidei militibus videretur, abiit. Atque mandatis ma- 7
gistratibus iis, quos ipse volebat, profectus ad intestinum bellum
profitebatur non contra Constantium se iter facere sed velle in 8
unum convenire exercitus regionis orientis et occidentis, ut con-
iuncti suum eligerent regem. Gloriabatur etiam se praenosse 9
diem, quo moriturus esset Constantius, somnio imbutum versibus his:

Iuppiter augustos ubi fines intrat aquari
Virgineoque sinu vicesima quinta recepit
Portio Falciferum, Constantius induperator
Regnum Asiae tristi superatus morte relinquet.

Mortuus est autem Constantius rebus Persicis relictis (nam illo- 10
rum quoque rex domum redierat), tyrannum aggressurus. Curis 11
enim multis sollicitatus indeque longinqua correptus febri et bile

τεῦθεν συνεχεῖ ληφθεὶς πυρετῷ χολήν τε ἀναγαγὼν μέλαιναν ἐτελεύτησεν ἐν Μόψου κρήνῃ (κεῖται δὲ αὕτη κατὰ τὴν τοῦ
D 12 Ταύρου ὑπώρειαν), ἐπὶ τρισίν, ὡς λέγεται, μεμφόμενος ἑαυτῷ, τῷ φόνῳ τῶν συγγενῶν (οὐ γὰρ τὸν Γάλλον μόνον ἀπέκτεινεν, ὡς εἴρηται ἤδη, ἀλλὰ καὶ τοὺς ἀδελφοὺς τοῦ οἰκείου πατρός), τῇ ἀναρρήσει τοῦ Ἰουλιανοῦ καὶ τῇ καινοτομίᾳ τῆς πίστεως.
13 Ἦν δὲ ὁ αὐτοκράτωρ οὗτος εὐμενὴς μὲν τοῖς ὑπηκόοις,
W III 20 δικαιοσύνῃ δὲ περὶ τὰς κρίσεις στοιχῶν, περὶ τὴν δίαιταν ἐγκρατής, ἐν ταῖς τῶν ἡγεμονιῶν καὶ ταῖς τῶν ἀξιωμάτων διανομαῖς τοῦ προσήκοντος στοχαζόμενος, μηδένα τῇ γερουσίᾳ συντάσσων, ὃς οὐ παιδείας μετείληχεν οὐδὲ ἤσκητο πρὸς τὸ
14 λέγειν καὶ ᾔδει γράφειν ἐμμέτρως τε καὶ πεζῶς. περὶ δὲ τὴν πίστιν ὑπῆρχεν οὐκ εὐαγής· οὐ γὰρ τῇ πατρικῇ εὐσεβείᾳ ἐστοί- D.III 208
χησεν, ἀλλὰ προσέθετο τοῖς ἀρειανίζουσι σπουδῇ τοῦ τῶν βα-
P II 23 A 15 σιλικῶν εὐνούχων πρωτεύοντος Εὐσεβίου· ὅθεν καὶ τὸν θεῖον Ἀλέξανδρον, ὃς μετὰ τὸν ἱερὸν Μητροφάνην πατριάρχης τῆς νέας Ῥώμης κεχειροτόνητο, ἠνάγκαζεν εἰς κοινωνίαν τὸν Ἄρειον δέξασθαι, ὁ δὲ οὐ κατένευε· διὸ καὶ σύνοδον ὁ βασιλεὺς συγ-
16 κροτηθῆναι προσέταξεν. ὥριστο οὖν τῇ συνόδῳ ἡμέρα· καὶ

7 οἷος ἦν (ὁ add. E) Κωνστάντιος AE, οἷος ὁ Κωνστάντιος ἦν C

1 συνεχεῖ ληφθεὶς AR, συλληφθεὶς Dwp 4 ἀπέκτεινε μόνον E 5 εἴρηται] XIII 9, 18s. 7 δὲ Dw, γὰρ D 9 ante ἐν add. καὶ Dwp*Di* 11 οὐ AR *Wo* lat., om. w*p 12 ἤδη CE 16 τῆς om. E 18 οὐ | οὐ A 19 γοῦν E

evomita nigra mortuus est Mopsucrenae (sita vero haec est sub
12 Tauri radicibus), tribus de rebus, ut dicitur, vituperans semet ipsum et de nece propinquorum (non enim Gallum solum necaverat, ut dictum iam est, sed etiam fratres sui patris) et de appellato Iuliano et de mutata fide.
13 Erat autem imperator hic benevolus erga subiectos, iustitiam iudicandi sectans, modica vita, in mandandis imperiis et magistratibus aequi observans, nullum in senatum admittens nisi eruditionis participem atque exercitatum in dicendo ita ut cal-
14 leret scribere devinctam et prosam orationem. Neque vero de fide erat purus; nam non patriam pietatem secutus est, sed studuit Arianis impulsu regiorum eunuchorum principis Eusebii,
15 ita ut etiam D. Alexandrum post S. Metrophanem patriarcham novae Romae creatum studeret cogere in societatem Arium recipere. Neque vero ille annuebat; itaque concilium rex cogi ius-
16 sit. Definita igitur est concilio dies; Alexander ad vesperum illum sacrarium ingressus corpore prostrato precabatur deum, ne concederet, ut lupus, Arium intellegens, in gregem suum in-

ὁ Ἀλέξανδρος κατὰ τὴν ἑσπέραν ἐκείνην εἰς τὸ θυσιαστήριον
εἰσελθὼν καὶ πρηνῆ καταβαλὼν ἑαυτὸν ἐδέετο τοῦ θεοῦ μὴ
παραχωρῆσαι τὸν λύκον, τὸν Ἄρειον δηλαδή, εἰς τὴν ποίμνην
αὐτοῦ εἰσελθεῖν "ἢ ἐμὲ πρότερον τῆς ζωῆς ἀπόλυσον" ἔλεγε.
ταῦτα περιπαθῶς ἠντιβόλει σὺν δάκρυσιν. ἕωθεν οὖν ἄρτι τῆς 17. 18
συνόδου συνισταμένης ὁ Ἄρειος ἀπῄει μέγα φρονῶν. καὶ ἀπιὼν 19
νύττεται τὴν γαστέρα πρὸς ἔκκρισιν κοιλίας καὶ κύστεως. παρ- 20 B
εκκλίνας τε τῆς ὁδοῦ κεκάθικεν ἀποσκυβαλίσασθαι τὸ περίτ-
τωμα· συνεξερρύη δὲ τῇ κόπρῳ καὶ τὰ ἔγκατα τοῦ δειλαίου,
βιαίως ἀπορρήξαντος τὴν ζωήν.

Ὁ μέντοι πατριάρχης Ἀλέξανδρος εἴκοσι πρὸς τρισὶν ἀρ- 21
χιερατεύσας ἐνιαυτοὺς μετήλλαξε τὴν ζωήν, καὶ ἀντεισήχθη
παρὰ τῶν ὀρθοδόξων εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως
Παῦλος ὁ ὁμολογητής. ἐπανελθὼν δ' ὁ Κωνστάντιος ἐξ Ἀν- 22
τιοχείας μεθίστησι τοῦ θρόνου αὐτὸν καὶ ἀντικαθίστησι τὸν
Νικομηδείας Εὐσέβιον, αἱρεσιώτην Ἀρείου τυγχάνοντα. ὁ δὲ 23
ἅγιος Παῦλος τῷ πάπᾳ τῆς Ῥώμης προσελθὼν Ἰουλίῳ καὶ
ὑπ' αὐτοῦ εἰς τὸν θρόνον καταστὰς Κωνσταντινουπόλεως αὖθις C
ὑπὸ Κωνσταντίου διώκεται καὶ σταλεὶς ὑπερόριος ὑπὸ Ἀρεια-

5 περὶ τῆς (τοῦ add. E) Ἀρείου διαφθορᾶς CE   11 περὶ πατριαρχῶν CE   19 ὅτι ὁ Μακεδόνιος τὸ σῶμα τοῦ μεγάλου Κωνσταντίνου εἰς τὸν ναὸν τοῦ ἁγίου μετήνεγκεν Ἀκακίου. αὖθις δὲ ὁ Κωνστάντιος εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων αὐτὸ μετεκόμισεν C

2 πρηνὴ A mutatum ab ead. man. in πρινὴ, πρηνὴ E, πρινῆ B, πρινὴ D, πρηνῆ CDwwp*Di*   6 ante ὁ add. καὶ Rwp   8 περίττευμα Dwp   9 συνερρύη C   11 ante τρισὶν add. τοῖς Dwp   17 πάππα DE   προσελθὼν initio vers. om. C   18 ἀποκαταστὰς Rwp   ante αὖθις add. καὶ Bwp

traret "aut me prius" inquit "e vita tolle". Haec anxius obse- 17
crabat cum lacrimis. Mane igitur concilio iam convocato Arius 18
abiit elato animo. Atque in ipsa via ventre torquetur, ut alvum 19
et vesicam exoneraret; declinans de via sedit, ut evacuaret ex- 20
crementum, sed effluxerunt una cum stercore ipsa intestina ho-
minis illius miseri, ita ut violenter privaretur vita.

Patriarcha autem Alexander per viginti et tres sacerdotio 21
functus annos mortem cum vita commutavit, in cuius locum
accitus est ab orthodoxis ad sedem Constantinopolitanam Paulus
confessor. At reversus Constantius Antiochia pellit sede eum in 22
eiusque locum accit Nicomediae Eusebium, sectatorem Arii. Sed 23
S. Paulus cum papam Romae adiisset Iulium ab eoque sedi re-
stitutus esset Constantinopolitanae, denuo a Constantio pellitur

24 νῶν ἀναιρεῖται. τοῦ δ' Εὐσεβίου θανόντος ὁ πνευματομάχος
παρὰ τῶν Ἀρειανῶν εἰς τὸν τῆς νέας Ῥώμης θρόνον ἀνάγεται D III 209
25 Μακεδόνιος, ὃς ὑπερφρονήσας μετήνεγκε τὸ ἱερώτατον σῶμα
τοῦ ἐν ἁγίοις Κωνσταντίνου ἐκ τοῦ τῶν ἁγίων ἀποστόλων ναοῦ
26 εἰς τὸ τοῦ ἁγίου μάρτυρος Ἀκακίου θεῖον τεμένισμα. διόπερ
ἐξώργιστο ὁ Κωνστάντιος καὶ πρὸς τὴν πατρικὴν πόλιν ἐπανελ-
θὼν τὸν Μακεδόνιον ἔτος ἓν ἠνυκότα τοῦ θρόνου κατέσπασέ
τε καὶ ὑπερώρισε, καθίδρυσε δ' ἐν αὐτῷ τὸν Εὐδόξιον, τὰ
D τοῦ Ἀρείου πρεσβεύοντα, ἐπὶ δέκα ἐνιαυτοὺς ἀρχιερατεύσαντα.
27 μετεκόμισε δ' αὖθις τὸ σῶμα τοῦ οἰκείου πατρὸς εἰς τὸν τῶν
ἁγίων ἀποστόλων ναόν.
28 Οὗτος δὴ οὖν ὁ Κωνστάντιος καὶ τὰ τῶν ἁγίων ἀποστό-
λων ἱερώτατα σώματα Ἀνδρέου τε καὶ Λουκᾶ διὰ τοῦ δουκὸς
Ἀλεξανδρείας, ὕστερον δὲ καὶ καλλινίκου μάρτυρος Ἀρτεμίου,
εἰς τὸ πατρῷον ἀνεκόμισεν ἄστυ καὶ ἐν τῷ ναῷ τῶν ἁγίων
ἀποστόλων ἀπεθησαύρισε τοῦ θυσιαστηρίου ἐντός.
29 Γαμετὴ δὲ αὐτῷ ἦν Εὐσεβία, ἣ ἐπὶ κάλλει γέγονε περι-
βόητος. περὶ δὲ τὸν γαμέτην ἠτύχησε μαλθακὸν ὄντα καὶ τὰ

18 (C ad p. 59, 7) περὶ τῶν λειψάνων τῶν ἁγίων ἀποστόλων (τοῦ ἁγίου om. ἀποστόλων E) Ἀνδρέου καὶ Λουκᾶ CE

7 post τὸν add. μὲν RwpDi 8 τε om. Dwp 9 τοῦ om. E 10 ὀκείου E τὸν τῶν ARwp, τὸν τὸν D 11 ναόν ex ναῶν corr. A 12 οὖν om. D καὶ τὰ ex κατὰ corr. B 17 αὐτοῦ ἦν R, ἦν αὐτῷ DEwp ante εὐσεβία add. ἡ C 18 τὰ om. D

24 et relegatus ab Arianis tollitur. Eusebio vero mortuo ille πνευ-
ματομάχος ab Arianis in novae Romae thronum introducitur Ma-
25 cedonius, qui superbia elatus transtulit sanctissimum corpus D.
Constantini ex templo sanctorum apostolorum in divam aedem
26 sancti martyris Acacii. Quocirca iratus Constantius ad paternam
urbem reversus Macedonium annum unum munere functum throno
spoliavit et expulit, constituto in eodem Eudoxio, Arianorum
principe, qui per decem annos munus summi sacerdotis sustinuit.
27 Tum transtulit denuo corpus sui patris in aedem sanctorum apo-
stolorum.
28 Hic igitur Constantius sanctorum apostolorum sanctissima
corpora Andreae ac Lucae per Artemium, ducem Alexandriae,
posthac illustrem martyrem in patriam translata urbem in aede
sanctorum apostolorum condidit intra sacrarium.
29 Uxor ei erat Eusebia, pulchritudine quidem clarissima, sed
de marito infelix, qui mollis esset et ad rem veneream segnior

πρὸς ἀφροδίτην νωθέστερον ἐκ νόσων τε καὶ ἐκ φύσεως. ὅθεν 30
κατὰ βραχὺ φθίνουσα τοῦ Κωνσταντίου προτέθνηκεν, ἄπαις
διὰ βίου μείνασα· ὡς δέ τινες λέγουσι, καὶ μητρομανίας νοσή-
ματι περιπεσοῦσα ἐξέλιπε. λέγεται δὲ καὶ πρὸς τὸ ἱππεύειν 31
καὶ ἀκοντίζειν περιδέξιος ὁ Κωνστάντιος εἶναι καὶ λόγοις ὡμι- P II 24 A
ληκέναι, ὡς ἔπος δύνασθαι συντιθέναι.
Ἀγγελθείσης δὲ τῷ Ἰουλιανῷ τῆς τοῦ Κωνσταντίου τελευ- 12 W III 21
τῆς τὰ μὲν στρατεύματα Αὔγουστον αὐτὸν ἀνευφήμησαν, ἐκεῖ-
νος δὲ τὸ βασιλικὸν ἀμείψας σχῆμα καὶ πενθῆρες ἐνδὺς σκυ-
θρωπάζων ὦπτο. καὶ δημόσιον ἐπὶ τῷ τελευτήσαντι βασιλεῖ 2
κατ' ἔθος πεποίηκε πένθος. εἶτα ἐπὶ τὸ Βυζάντιον ὥρμησε· 3
D III 210 καί οἱ προσυπήντησεν ἡ σύγκλητος καὶ ὁ δῆμος καὶ σὺν εὐ-
φήμοις φωναῖς προῆλθεν εἰς τὰ βασίλεια, καὶ τῆς τῶν κοινῶν
διοικήσεως ἥψατο. τὸ δὲ τοῦ Κωνσταντίου σῶμα τὸ σὺν ἐκείνῳ 4
στρατιωτικὸν καὶ οἱ ἄρχοντες ἐπ' ὀχήματος εἰς Κωνσταντινού-
πολιν διεκόμισαν· ὃ καὶ ὁ Ἰουλιανὸς προσυπήντησε καὶ παρέ- B
πεμψε, περιελόμενος τῆς κεφαλῆς τὸ διάδημα. κατετέθη δὲ 5

6 (C ad p. 58, 18) *περὶ Εὐσεβίας τῆς γαμετῆς Κωνσταντίου* CE 7 *βασιλεία ἰουλιανοῦ τοῦ παραβάτου* ACDE 16 *ὅτι ἐτίμησε τὸν τοῦ Κωνσταντίου νεκρὸν ὁ Ἰουλιανός* CE

2 ante *κατὰ* add. *καὶ* B 4 *καὶ* om. E 5 *περιδεξιὸς* Dwp 6 ante *ἔπος* add. *καὶ* Rwp 7 *τῷ* om. Dwp *τοῦ* om. B 9 *ἐνδὺς* AE, *λαβὼν* Owp 10 *ἐπὶ* ex *ἐπεὶ* corr. D 12 *προυπήντησεν* E ante *ἡ* add. *καὶ* Owp 15 *καὶ* om. D 16 *ὃ* A, *ᾧ* Rwp*Di*, v. Steph. thes. VI p. 2022 B et Krebsium, *z. Rect. d. Cas. cet. Monach.* 1887 I p. 20 *καὶ ὁ ἰουλιανὸς* A, *καὶ ἰουλιανὸς* E, *ὁ ἰουλιανὸς* Owp *παρέπεμψε* A, *παρέπεμψεν* E, *προέπεμψε* Owp*Di*

morbis ac natura. Quamobrem paullatim tabescens ante Constan- 30
tium mortua est liberis non relictis; ut vero nonnulli dicunt,
furoris uterini morbo cum laborasset, periit. Dicitur et equi- 31
tandi et iaculandi peritissimus Constantius fuisse et litteris ope-
ram dedisse adeo, ut carmen posset componere.
12. Nuntiato obitu Constantii legiones Ivlianvm laetis ac-
clamationibus Augustum consalutarunt, verum ille regio habitu
mutato et lugubri induto, tristitiam prae se ferens, ob impera- 2
toris funus de more publicum luctum indixit. Deinde Byzan- 3
tium profectum senatus populusque obviam egressi faustis omi-
nibus in regiam deduxerunt. Ita suscepta imperii administratione 4
cum Constantii corpus ab illius militibus ac ducibus in curru
Constantinopolim deduceretur, amoto diademate Iulianus obviam
egressus idque prosecutus est. Conditum est corpus imperatoris 5
defuncti in aede sanctorum apostolorum.

ὁ τοῦ τελευτήσαντος νεκρὸς αὐτοκράτορος ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ.
6 Πολλοὺς δὲ τῶν περὶ τὰ βασίλεια ὁ Ἰουλιανὸς τοὺς μὲν
7 ἀνεῖλε, τοὺς δὲ ὑπερώρισε καὶ τῶν οὐσιῶν ἀπεστέρησε. ταῖς
δὲ λοιπαῖς τῆς βασιλείας διοικήσεσι καὶ τὸ δικάζειν συνέταττε.
8 ποτὲ γοῦν δικάζων τινὶ κεκλοφέναι κατηγορουμένῳ δημόσια
χρήματα καὶ τὴν κλοπὴν ἀρνουμένῳ, ἐπεὶ ὁ κατήγορος "τίς"
ἔφη "βασιλεῦ, ἐπ' ἐγκλήματι δίκην ὑπόσχῃ, εἰ ἐξ ἀρνήσεως
9 ὠφελοῖντο οἱ αἰτιώμενοι"; ἐκεῖνος ἀνταπεκρίνατο "καὶ τίς ἔσται
C 10 ἀναίτιος, εἰ ἐλέγχων ἄνευ πιστεύοιντο οἱ κατήγοροι"; ἐχρημά-
τιζε δὲ καὶ πρέσβεσιν ἐκ διαφόρων ἐθνῶν σταλεῖσι πρὸς τὸν
11 Κωνστάντιον. καὶ τὰ στρατεύματα δὲ ἐπεσκέπτετο καὶ ἐξήταζε,
12 τὸ πολύ τε τῆς βασιλικῆς θεραπείας ἀπεπέμψατο. κουρέα τε
ζητήσας, ὡς προσῆλθεν αὐτῷ τοῦ Κωνσταντίου κουρεὺς πολυ-
τελῶς ἐσταλμένος, κουρέα ζητεῖν εἶπεν, ἀλλ' οὐ συγκλητικόν,
13 καὶ αὐτὸν ἀπεπέμψατο. καὶ μάγειρον δὲ τῶν βασιλικῶν ἐν
ἐσθῆτι λαμπροτέρᾳ τῆς ὑπουργίας αὐτοῦ θεασάμενος καὶ τὸν
ἑαυτοῦ μετεπέμψατο μάγειρον κατὰ μάγειρον ἐσταλμένον· καὶ
14 ἤρετο τοὺς παρόντας, πότερον αὐτῶν κρίνοιεν μάγειρον. τῶν

14 ὅτι λιτότητι (λιτότητα E) μετῄει ὁ παραβάτης AE, ὅτι λιτότητα ὁ παραβάτης μετῄει C. Praeterea additur in ACE σημείωσαι

1 ante ὁ add. καὶ E ναὸς D, corr. Dw 3 ὁ om. E τοὺς μὲν om. D 5 τοῦ βασιλείου E 6 γοῦν ARwp, δὲ D 9 ἐκεῖνος ἀνταπεκρίνατο (ἀντεπεκοίνατο E) Rwp*Di*, om. A 11 δὲ om. D 14 τοῦ ARwp, τῶν *Di* 16 δὲ om. C 19. p. 61, 1 κρίνοιεν μάγειρον. τῶν δὲ | τῶν A, corr. *Di*, κρίνοιεν ἂν μαγείρῳ προσεοικέναι. τῶν δὲ τὸν (pro τὸν: τῶν et τὸν C, τῶν D, τὸν Dw) Rwp

6 Multos aulicos sustulit, multos relegavit bonis confiscatis.
7 Ac ceteris imperii curis etiam iuris dicundi munus adiunxit.
8 Cum igitur aliquando de quodam peculatus reo, qui crimen negabat, Iulianus iudicaret, dicente accusatore "Quis ullius crimi-
9 nis poenas det, si reo infitias ire prosit?" respondit "Et quis insons erit, si accusatori crimine non probato fides habeatur?"
10 Respondebat et legatis a variis gentibus ad Constantium missis
11 et legiones recognoscebat ac recensebat et maximam partem
12 imperatorii comitatus dimisit. Qui cum tonsorem quaereret et ad eum Constantii tonsor sumptuoso ornatu accessisset, tonsorem
13 se quaerere, non senatorem dicens hominem dimisit. Coquum item imperatorium in splendidiore veste quam pro ministerio conspicatus suo coquo, qui pro artis condicione ornatus erat, arcessito eos qui aderant rogavit, utrum iudicarent coquum.
Qui cum vilius cultum dixissent, alterum repudiavit. Haec fa-

δὲ τὸν εὐτελῶς εἰπόντων ἐσκευασμένον, παρῃτήσατο τὸν λοιπόν. D
ταῦτα δ' ἐποίει δόξαν θηρῶν ἐκ τοῦ δοκεῖν ἀπέριττος καὶ 15
D III 211 *ὄντως φιλόσοφος. τοῖς στρατιώταις δὲ διανείμας χρήματα εἰς* 16
τὸν κατὰ Περσῶν ἡτοιμάζετο πόλεμον.

Αὐτοκράτωρ δὲ γεγονὼς καὶ ἑαυτῷ τὴν ἀρχὴν κρατυνά- 17
debat eoque futura bona sugillabat et prophetas irridebat et daemones esse pernegabat; scortari peccatum non ducebat et de deo, qui supra omnia est, iurando monebat. Iudae salutem ominabatur, 22
pascha alieno tempore celebrari affirmabat. Haec pauca e multis im- 23
probitatis ac potius dementiae illius indicia conscribenda censui.
Nunc vero oratio ad res gestas et bella multa illorum tem- 24
porum progrediatur. Thomas, unus de tribus illis hominibus, inter 25
quos Philomelianus ille monachus Bardanio vaticinatus erat duos

τῆς βασιλείου ἀρχῆς, τὸν δέ γε τρίτον (ὃς οὗτος ἦν ὁ Θωμᾶς)
ἐπιχειρῆσαι μὲν τυραννίδι καὶ ἑαυτῷ περιθέσθαι διάδημα, μὴ
26 μέντοι καὶ τῆς βασιλείας τυχεῖν. οὗτος τοίνυν, ὡς ἤδη μοι
εἴρηται, ἄρχων καταστὰς τοῦ τάγματος τῶν φοιδεράτων παρὰ
C τοῦ Λέοντος, ὡς ἔγνω τὸν εὐεργέτην ἀναιρεθέντα παρὰ τοῦ
Μιχαήλ, τῷ μὲν δοκεῖν τιμωρῶν ἐκείνῳ, τῷ δ' ὄντι τὴν βα-
σιλείαν καραδοκῶν ἀνταίρει τῷ Μιχαὴλ καὶ συναλίσας δύναμιν
οὐκ εὐκαταφρόνητον ἅπασαν σχεδὸν τὴν ἑῴαν μοῖραν ἐσφετε-
ρίσατο καὶ τοὺς δημοσίους φόρους αὐτῷ κομίζεσθαι παρε-
27 σκεύαζε. καὶ πολὺς ἐντεῦθεν γενόμενος ἐπῆλθε καὶ τοῖς Ἀγα-
ρηνοῖς, ἀδεέστερον τότε πᾶσαν ληιζομένοις χώραν καὶ τὰς νήσους
28 αὐτὰς διὰ τὸν ἐμφύλιον πόλεμον. καὶ ἐπελθὼν ἀνέκοψε τῆς
φορᾶς καὶ ἀνακόψας παρεστρατοπεδεύσατο καὶ ἐς λόγους ἦλθεν
αὐτοῖς καὶ ἥκων εἰς λόγους ἐσπείσατο ἐπὶ συνθήκαις τοῦ Ῥω-
μαϊκῶν ὁρίων παραχωρῆσαι αὐτοῖς, εἰ τῆς βασιλείας ἐγκρατὴς
D 29 γένοιτο. οὕτω δὲ ταῦτα διοικησάμενος καὶ τὴν κεφαλὴν ἀνε-
δήσατο ταινίᾳ βασιλικῇ καὶ αὐτοκράτωρ ἀνερρήθη κατὰ τὴν
Ἀντιόχειαν παρὰ τοῦ τότε τὸν θρόνον αὐτῆς τὸν πατριαρχικὸν D III 39

16 ὅτι περιέθετο ἑαυτῷ ὁ Θωμᾶς τὰ τῆς βασιλείας παράσημα C

2 ἐπιχειρήσειν D 3 τυχεῖν AE$D_w$wp, ἐν πράγματι (πράγμασιν B) ἐπιτεύξασθαι (-εσθαι C) O 3. 4 ἤδη — εἴρηται] προεγράφη O *Wo* lat. 4 εἴρηται] XV 19, 12 τοῦ τῶν φοιδεράτων τάγματος O 6 τῷ μὲν] τὸ μὲν D 7 ἀνταιρεῖ D 8 μείραν D, corr. D_w 9 αὐτῷ κομίζεσθαι παρεσκεύασε (παρεσκεύαζε A) AE$D_w$wp, αὐτοῖς ᾠκειώσατο O 12 post ἀνέκοψεν add. αὐτοὺς Owp 13 ἐπαρεστρατοπεδεύσατο D, corr. D_w ἤλθεν AEwp, ἧκεν O 14 ἐλθὼν C ἐς C, sed v. ad XIV 12, 14 15. 16 γένοιτο ἐγκρατής O 17 βασιλικῶν D, corr. D_w 18 τοῦ τότε] τοῦτό τε D αὐτῆς post πατριαρχικὸν E

regno potituros esse, tertium (is vero Thomas erat) invasurum
illum quidem tyrannidem ac diadema sibi impositurum neque
26 vero regni compotem fore, seditionem excitavit. Is igitur, ut
ante dictum est, a Leone foederatorum legioni praepositus,
ut principem de se bene meritum a Michaële caesum cognovit,
per speciem necis illius vindicandae, cum re vera regnum affe-
ctaret, Michaëlem est aggressus coactisque copiis non contemnen-
dis universas fere orientales provincias occupavit earumque
27 vectigalia publica sibi afferenda curabat. Unde auctis opibus
etiam Agarenos invasit, qui tum omnes provincias et ipsas in-
28 sulas ob intestinum bellum audacius populabantur, eorumque
impetu represso et castris prope positis et habito colloquio pepigit
29 se, si regno potiretur, eis finibus Romanis esse cessurum. Qui-
bus rebus peractis caput diademate regio ornat et imperator

ἔχοντος· Ἰὼβ δ' ἐκεῖνος ἐκέκλητο. κἀκεῖθεν ὁρμηθεὶς σὺν με- 30
γάλῳ στρατεύματι (ἔτυχε γὰρ συμμάχων οὐκ Ἀγαρηνῶν μόνον,
ἀλλὰ καὶ ἐξ ἑτέρων ἐθνῶν πλειόνων) τῇ τυραννίδι κραταιότερον
ἐπεχείρησεν. ἦν δὲ ὁ Θωμᾶς οὗτος οὐ τῶν εὐπατριδῶν, ἀλλὰ 31
καὶ τῶν λίαν ἀσήμων καὶ τούτων βαρβάρων, καὶ ἀπορίᾳ σύν-
τροφος τῇ ἐσχάτῃ, ὥστε καὶ δουλεύειν μισθοῦ. ἀναχθεὶς δ' 32
ὑπὸ τῆς τύχης, ὡς εἴρηται, καὶ τυραννίδι ἐπιχειρήσας τήν τε
κλῆσιν μετέθετο, Κωνσταντῖνον ἑαυτὸν ὀνομάσας καὶ κοινωνὸν
τῆς βασιλείας, ὡς ᾤετο, προσελάβετο, υἱὸν εἰσποιητὸν οἰκειω- P II 137 A
σάμενός τινα. τοῦ δὲ Μιχαὴλ στρατιὰν κατ' αὐτοῦ ἐσταλκότος, 33
συμβαλὼν ἐκεῖνος αὐτῇ τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ φυγάδας ἀπέ-
φηνεν. ἐντεῦθεν κραταιότερον τῆς τυραννίδος ἐπείληπτο καὶ 34
στόλον ἐξαρτυσάμενος, ἀλλὰ μὴν καὶ τὸ βασιλικὸν ναυτικὸν ὑφ'
ἑαυτὸν ποιησάμενος ἐξ Ἀβύδου πρὸς τὴν Θρᾴκην ἐπεραιώθη
καὶ τὰ τῆς ἑῴας ἅπαντα σχεδὸν ὑπηγάγετο, ἄνευ μέντοι τοῦ 35
θέματος τοῦ Ὀψικίου, οὗ ὁ Κατάκυλας ἐστρατήγει, καὶ τοῦ
τῶν Ἀρμενιακῶν· ὁ Ὀλβιανὸς δὲ τὴν στρατηγίδα τούτου εἶχεν 36

10 *ὅτι εὐτύχει ὁ τύραννος οὗτος καὶ ἐκρατύνετο* C

1 *δ'* om. O *ἐκείνους* D, corr. Dw 2 *μόνων* Ewp, v. ad XIV 6, 31 3 *ἐξ* om. D *πλειόνων ἐθνῶν* D 4 *ἐπεχείρ* (η) | *ἦν* E *δὲ*] |ὲ C *εὐπατρίδων* p* invitis ARw 5 *συντρόφων* D, cui scripturae astipulatur *Wo* lat. 6 *τῇ* om. D 9 post *υἱόν* distinguunt p*Di*, ante *υἱὸν* ABE*B*-*W* 11. 12 *ἀπέφηνε* (*ἀπέφηνεν* w*p). *κἀντεῦθεν* Owp 13. 14 *ποιησάμενος ὑφ' ἑαυτὸν* C 15 *τοῦ*] *τῶν* p* invitis ARw 16 *τοῦ* ante *ὀψικ.* om. B *κατάκυλας* ARwp, Genes. p. 33, 1. 35, 4. Theoph. contin. p. 53, 22. 57, 10. 64, 13. 67, 3, *Κατάκηλας* Cedr. (Scylitz.) II p. 77, 12 *ἐστρατηγ* D, corr. Dw 17 *ἀλβανὸς* B *τούτου* et *τούτων* per dittogr. B

appellatur ab Iobo, Antiocheno patriarcha. Inde cum magno 30
exercitu profectus (neque enim Agarenos dumtaxat, sed et plures
alias gentes ad belli societatem asciverat) tyrannidem maiore animo
invasit. Fuit hic Thomas vero non ex gente patricia, sed ad- 31
modum obscura eaque barbara, tantaque fuerat inopia confli-
ctatus, ut mercede serviisset. Sed fortuna evectus, ut dictum est, 32
regnoque affectato Constantini nomen assumpsit et filium ado-
ptivum regni consortem, ut putabat, sibi allegit. Cum exercitu 33
Michaëlis contra se misso congressus aliis occisis, aliis fugatis tyran- 34
nidem stabilivit et classe comparata, immo etiam classe regia po-
titus Abydo in Thraciam traiecit, Orientalibus paene omnibus 35
subactis praeter Opsicianam provinciam, cui Catacylas, et Arme-

W III 111 ἀρχήν, ὃς δὴ λοχήσας καὶ τὸν τῷ τυράννῳ εἰσποιηθέντα υἱὸν
κατασχὼν ἀνεῖλεν εὐθύς.

23 Γενόμενος δ' ἐν τῇ Θρᾴκῃ, ὡς εἴρηται, ὁ Θωμᾶς προσ-
2 τιθεμένους αὐτῷ τοὺς ξύμπαντας ἔσχηκεν. αὖθις οὖν τοῦ
B βασιλέως κατά τε γῆν αὐτῷ συμμίξαντος καὶ κατὰ θάλασσαν,
καὶ ἄμφω τὰς στρατιὰς ὁ τύραννος ἐτρέψατό τε καὶ διεσκέδασεν,
υἱοθετήσατο δ' ἕτερον, τοῦ πρώτου κτανθέντος, ὡς εἴρηται,
Ἀναστάσιον μὲν καλούμενον, μοναχὸν δ' ὄντα, καὶ τὸ μὲν σχῆμα
τὸ θεῖον ἀποδυσάμενον, στολὴν δὲ κοσμικὴν μεταμφιασάμενον. D III 3
3 ἐς τοῦτο δ' ἧκεν ἀπορίας ὁ Μιχαὴλ ὡς σιδηρᾶν ἐκτεῖναι σειρὰν
ἐξ ἀκροπόλεως εἰς τὸ κατ' ἀντιπέραν πολίχνιον, ἵν' ἄβατα τοῖς
4 τοῦ τυράννου φυλάττοιτο τὰ ἐντός. ἀλλ' ὁ Θωμᾶς ὁμοῦ τῇ
πόλει προσέβαλε κατὰ γῆν τε καὶ κατὰ θάλασσαν, τὴν σιδηρᾶν
ἐκείνην ῥᾷστα διαρρήξας σειράν, καὶ ᾤετο, εἰ μόνον φανείη,
τοὺς ἐν τῇ πόλει διὰ τὴν πρὸς τὸν κρατοῦντα ἀπέχθειαν εὐ-
C 5 χερῆ τὴν εἴσοδον αὐτῷ παρασχεῖν. ἐπεὶ δ' ἐρρωμένους εὕρηκε
τοὺς ἐντὸς πρὸς τὴν τῆς πόλεως φυλακὴν καὶ τῶν ἐλπίδων
ἐψεύσθη, τότε μὲν ἀνεχώρησε καὶ βάλλεται χάρακα κατὰ τὸ
τῶν θείων Ἀναργύρων ἱερώτατον τέμενος· ὁ τόπος δὲ τὰ Παυ-

5 *τε* om. O, v. ad XIV 21, 11 *συμμίξαντος* AEwp, *μαχεσαμένου* O 7 *υἱοθεθήσατο* p* invitis ARw 8 *ὄντα δὲ μοναχὸν* O 8. 9 *θεῖον σχῆμα* B 10 *εἰς* D, v. ad XIV 12, 14 10. 13 *σιδηρᾶν* R^{s}wp*Di*, *σιδηρὰν* ACE 11 *κατατιπεραν* punctis notatum E 13 *κατὰ* ante *θαλ.* om. Dwp*Di* *θάλατταν* B 15 *τοὺς ἐν* om. D *ἀπέχθησαν* D, corr. Dw 16 *ἐρωμένους* D 18 *χάρακα* om. D, suppl. Dw *τὸ* Rwp*Di*, om. A 19 *ἱερώτατον* om. E *τὰ* AE, *τοῦ* Owp, v. Cedr. (Scylitz.) II p. 81, 9

36 niacam, cui Olbianus imperator praeerat, qui tyranni adoptivum filium insidiis exceptum statim sustulit.

23. Cum Thomas, ut dictum est, in Thraciam venisset,
2 omnes ad eum se contulerunt. Itaque regem denuo terra marique vicit, profligatis duobus exercitibus et in filii locum, quem necatum fuisse diximus, alterum adoptavit, nomine Anastasium,
3 qui sacro monachi habitu abiecto civilem sumpserat; et ad tantam redegit Michaëlem desperationem, ut ferrea catena ex acropoli ad oppidulum oppositum extenta tyrannum prohibere conaretur
4 intro penetrare. Sed Thomas terra marique simul impetu in urbem facto illaque catena facillime rupta putabat, si ab oppidanis tantum conspiceretur, fore sibi ob imperatoris odium aperta
5 omnia. Cum autem viros fortes se praeberent, qui urbem tuerentur, spe deiectus tum quidem recessit ac vallum muniit circa

λίνου ὠνόμαστο. ἡμερῶν δέ τινων διαγενομένων καὶ κατὰ 6
χέρσον αὖθις καὶ κατὰ θάλασσαν ἐπήνεγκε τῇ πόλει τὸν πό-
λεμον, ἑλεπόλεις τε καὶ κλίμακας ἐπαγόμενος. ὡς δ' ἑώρα 7
τὰ τῆς σπουδῆς αὐτῷ πανταχόθεν ἀνήνυτα, τότε μὲν τὴν ψυ-
χρὰν ἐκτρεπόμενος Θρᾴκην (χειμὼν γὰρ ἦν) τὴν στρατιὰν αὐ-
τοῦ ταῖς χώραις διένειμεν, ἐν ταύταις σχολάσουσαν καὶ τὴν τοῦ
χειμῶνος ἐκφευξομένην δριμύτητα. ἄρτι δὲ τοῦ ἔαρος ἐφεστῶ- 8
τος καὶ πάλιν προσῆγε καὶ ἀμφοτέρωθεν τῇ πόλει τὴν στρατιὰν D
καὶ περιεκύκλου τὰ τείχη τῷ τε πεζῷ στρατεύματι καὶ τῷ ναυ-
τικῷ. ἤδη δὲ καὶ τῷ Μιχαὴλ ἡτοίμαστο καὶ στόλος καὶ στρά- 9
τευμα. λόγοις οὖν παρακλητικοῖς τοὺς οἰκείους παραθαρρύνας 10
ὁ βασιλεὺς ἀθρόον ἐκ πλειόνων πυλῶν ἐξάγει τούτους καὶ συρ-
ρήγνυται τῷ τοῦ τυράννου λαῷ. οἱ δὲ τῷ αἰφνιδίῳ καὶ τῷ 11
θάρσει τῶν ἐπιόντων ἀποδεδειλιακότες τὰ νῶτα μετέβαλον καὶ
ἔπεσον πολλοί, καὶ ἡ νίκη τῶν ἐκ τῆς πόλεως ἦν. τὰ μὲν 12
οὖν κατὰ χέρσον οὕτω συνηνέχθη τῷ ἀποστάτῃ· οὐ μὴν ἀλλ'
D III 395 *οὐδὲ τὰ κατὰ θάλασσαν κάλλιον ἔσχεν αὐτῷ. τὰς γὰρ βασι-* 13
λικὰς τριήρεις τὸ τοῦ τυράννου ναυτικὸν θεασάμενον ἐπιούσας

1 *ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν προσβαλὼν ὁ Θωμᾶς τῇ πόλει πολλάκις, οὐδὲν ἀνύσαι ἴσχυσεν, ἀλλ' ἥττητο συνεχῶς· ὁ δὲ καὶ ἡττώμενος τοῦ τυραννεῖν* (*τυραννείου* E) *οὐκ ἀπείχετο* CE (C verbis *ἀλλ' ἥττετο* novum incipit argumentum)

2 *ἐπήγαγε* Ewp *τὸν* om. D 3 *καὶ* om. D 4 *αὐτῇ* D, corr. Dw 6 *σχολάζουσαν* w*p invitis AR 10 *στρα¦τεύματα* D, sed *τεύματα* in rasura 11 *παραθαρύνας* B 12 *πυλῶν πλειόνων* D *συρρήγνυνται* O 14 *θάρσει* AR, *θράσει* B^{s}(?)p*Di*, *θάσει* w*; v. XVI 7, 14 16 *ἀλλ'* om. BC 16. 17 *ἀλλ' οὐδὲ*] *καὶ* D 17 *ἔσχε κάλλιον* D

sacram S. Anargyrorum aedem, qui locus Paulini vocatur. Sed 6
diebus aliquot elapsis urbem denuo terra marique oppugnat,
machinis et scalis adhibitis. Ut vero se omnem operam et im- 7
pensam ludere vidit, tunc frigida illa Thracia relicta (nam hiems
erat) exercitus in provincias distribuit, ut ibi otio recrearentur
et hiemis saevitiam evitarent. Vere autem ineunte legiones de- 8
nuo utrimque contra urbem adduxit eamque et pedestribus et
navalibus copiis circumdedit. Sed et Michaël interea et classem 9
et milites comparaverat, suosque verbis cohortatus pluribus ex 10
portis rex de improviso impetum in tyranni copias fecit. Illi 11
vero et re inexspectata et audacia hostium territi terga dede-
runt, multisque caesis victoria penes urbanos fuit. Ac terra sic 12
actum est cum desertore marique nihilo melius. Nam tyranni 13
naves, cum regiam classem contra se ire vidissent, non resti-

αὐτῷ οὐχ ὑπήνεγκεν, ἀλλ' εὐθὺς τὴν συμπλοκὴν μὴ θαρρήσαν
εἰρεσίᾳ συχνῇ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν ἀπεδί-
14 *δρασκον, οἱ δὲ τῷ Μιχαὴλ αὐτομολοῦντες προσήεσαν. ὁ δ'*
P II 138 A *ἀποστάτης ἔτι τῆς τυραννίδος ἀντείχετο καὶ οὔτε τὸν χάρακα*
ἔλυσε καὶ τὸ ἐν Ἑλλάδι ἑτοιμασθὲν αὐτῷ ναυτικὸν μετεπέμψατο·
15 *καὶ τόδε παρῆν κατὰ Βυρίδας νεωλκησάμενον. ὃ γνόντες οἱ*
τοῦ στόλου τοῦ Μιχαὴλ νυκτὸς αὐτοῖς ἐπιτίθενται καί τινας
μὲν ᾑρήκασι τῶν πολεμίων νηῶν, ἑτέρας δὲ τῷ ὑγρῷ πυρὶ
16 *κατενέπρησαν. κατὰ γῆν δὲ συχναὶ μὲν ἐγίνοντο προσβολαί,*
Θεοφίλου τοῦ υἱοῦ τοῦ βασιλέως τοῦ λαοῦ προεξάρχοντος· ἀγ-
χώμαλα δὲ τοῖς ἐναντίοις ἦσαν τὰ πράγματα καὶ οὐδενὶ μέρει
17 *καθαρῶς ἡ νίκη ἐπεμειδίασεν. ἐν τοσούτῳ δέ τι συμβὰν τῷ*
Θωμᾷ τὰ πράγματα ἔσφηλε· τῆς γὰρ φήμης πανταχοῦ τὴν
τοῦ Θωμᾶ κηρυξάσης ἀποστασίαν καὶ τὴν πολιορκίαν τῆς πό-
B *λεως, Μορτάγων ὁ τῶν Βουλγάρων κατάρχων σπονδὰς ἐπὶ*
τοῦ Λέοντος τριακοντούτεις θέμενος καὶ φιλίως τότε Ῥωμαίοις
ἔχων, αὐτεπάγγελτος ἧκε συμμαχήσων τῷ βασιλεῖ καὶ στρατο-

12 *ὅτι ὁ τῶν Βουλγάρων ἀρχηγὸς σπονδὰς μετὰ Ῥωμαίων θέμενος ἐμαχέσατο τῷ Θωμᾷ καὶ ἐνίκησε* CE *καὶ αἴτιος γέγονε τῆς αὐτοῦ καταλύσεως* C

1 *τῇ συμπλοκῇ* E 3 *δ'*] *δὲ* B[s](?)p invitis ARw 5 *ἔλυσεν ἀλλὰ καὶ* B 6 *βυρίδας* ARwp, Genes. p. 41, 8, Theoph. cont. p. 64, 3, *βηρύδας* D, *τῷ χωρίῳ . . τῶν Βηρίδου* (*τῶ βηρύδων* Coislinianus) Cedr. (Scylitz.) II p. 84, 22 *νεολκυσόμενον* E, *νεωκλυσάμενον* w*, *νεωλκυσάμενον* p* 8 *νεῶν* Rwp*Di*; Zonarae est et *νεῶν* (XIV 3, 30. 4, 18 cet.) et *νηῶν* (XV 24, 3. XVI 9, 47. 51 cet.). 9 *κατενέπρησαν* AO, *παραδεδώκασιν* Ewp post *κατενέπρησαν* vel *παραδεδώκασιν* add. Rwp *ὡς ὀλίγας περιλειφθῆναι* (*περιληφθῆναι* B) 10 *τοῦ υἱοῦ*] *τὸν υἱοῦ* w*p 11 *ἀντιπολέμοις* O 12 *ἐπέβρισεν* O 15. 16 *τριακοντούτεις ἐπὶ τοῦ λέοντος* O

terunt, sed statim congressu evitato assidua remigatione ad con-
tinentem appulerunt; ibi alii diffugerunt, alii ad Michaëlem de-
14 fecerunt. Verum desertor tyrannidem adhuc urgebat, neque vallo
soluto et classe, quam in Graecia paratam habebat, arcessita.
Quae cum venisset et iuxta Byridas naves subductae essent,
15 Michaëlis classiarii ea re cognita noctu eas aggrediuntur et alias
16 hostilium navium ceperunt, alias igni Graeco incenderunt. Terra
autem crebra proelia fiebant Theophilo regis filio duce, sed
aequo fere Marte pugnabatur, victoria ad neutram partem incli-
17 nante. Interea vero aliquid accidit, quo res Thomae labefactatae
sunt; nam rumore defectionis Thomae et urbis obsidionis passim
sparso Mortagon, Bulgarorum princeps, qui annorum triginta

πεδεύεται κατὰ τὰ Κιδόκτου. τοῦτο τὸν ἀποστάτην ἐθρόησε.
κρίνας δὲ ἀσύμφορον ἑαυτῷ ἅμα τε καὶ πολιορκεῖν καὶ τοῖς 18
Βουλγάροις ἀντιστρατεύσασθαι (μερισθείσης γὰρ αὐτῷ τῆς δυ-
νάμεως οὐκ ἀξιόμαχον ἑαυτὸν οὐδετέρῳ τυγχάνειν ᾤετο), κατὰ W III 112
τῶν Βουλγάρων ἐχώρησε παντὶ τῷ στρατεύματι καὶ συμβαλὼν
ἡττᾶται καὶ πολλοὺς μὲν ἀποβάλλει τῶν ἑαυτοῦ, τοὺς μὲν φθα-
ρέντας, τοὺς δὲ καὶ ἁλόντας. ὅσοι δὲ τόν τε βαρβαρικὸν ἀκι- 19
D III 396 *νάκην ἐξέφυγον καὶ τὴν αἰχμαλωσίαν διέφυγον, τὸ μέλλον* C
καραδοκοῦντες ἡσύχαζον. οἱ Βούλγαροι δὲ τοὺς αἰχμαλώτους 20
καὶ λείαν πολλὴν ἐπαγόμενοι ἀνεζεύγνυον τῇ νίκῃ γαυρούμενοι.
ταύτην τὴν ἧτταν τοῦ ἀποστάτου ὅσον ἐκ τοῦ στόλου αὐτοῦ 21
περιελέλειπτο ἐγνωκὸς πρὸς τὸν Μιχαὴλ ηὐτομόλησεν. ἐν τοιού- 22
τοις δὲ ὁ τύραννος γεγονὼς καὶ πάντῃ ἐξασθενήσας, ὅμως ἔτι
τοῦ πολιορκεῖν οὐκ ἀφίστατο, ἀλλὰ μηδὲν ἀνύων ἀπανίσταται
μὲν τῆς προσεδρείας τῆς πόλεως, ἄπεισι δὲ πορρωτέρω, καί
τινα τόπον εὑρὼν ἐπιτήδειον ἐν τούτῳ βάλλεται χάρακα, κἀκεῖ-
θεν ὁρμώμενος ἐληΐζετο τῆς πόλεως τὰ προάστεια καὶ τὰς τού-
των ἐκεράιζε χάριτας. ἐπῆλθε τοίνυν τούτῳ ὁ Μιχαήλ, καὶ 23
μάχης συγκροτηθείσης οἱ τοῦ Θωμᾶ ἑκόντες ἐτράπησαν εἰς D

1 *κιδόκτου* A (v. ad XV 18, 5), *κηδόκτου* Rwp, *Κηδούκτου* Genes. p. 42, 6, Theoph. cont. p. 65, 12, Cedr. (Scylitz.) II p. 86, 4   2 *καὶ* post *τε* om. D*Di*   4 *ἑαυτὸν* corr. ex *ἑαυτῷ* A   post *κατὰ* erasum est *γὰρ* in B   5 *τῷ* om. D   6 *ἡττᾶται* Rwp*Di*, *ἡττᾶσθαι* A   *μὲν* prius om. O*Di*   7 post *ὅσοι δέ* add. *γε* Rwp   *τε* om. C   8 ante *ἐξέφυγον* add. CDw: *καὶ τὴν αἰχμαλωσίαν καὶ— διέφυγον* om. AR, add. BEwp*Di*   9 *εἰσύχαζον* (sic) A   12 *ἐγνωκὸς* Owp*Di*, *ἐγνωκὼς* AE   *τούτοις* D   13 *δὲ* om. D   14 *ἐπαύσατο* Ewp   post *ἀλλὰ* add. *καὶ αὖθις* Owp   16 *τρόπον* D

indutias cum Leone fecerat, Romanis amicus, ultro suppetias regi
venit, castris ad Cidoctum locatis. Ea res desertorem turbavit.
Nam cum e re non esse putaret simul et urbem oppugnari et cum 18
Bulgaris dimicari, quod divisis copiis neutris par foret, contra Bul-
garos cum toto exercitu est profectus pugnaque commissa victus
multos suorum amisit, partim caesos, partim captos. Qui vero et 19
barbarorum ensem effugerant et captivitatem, exspectatione rerum
futurarum suspensi quiescebant. Bulgari, captivis et magna praeda 20
adducta, elati victoria recesserunt. Ea clade desertoris cognita clas- 21
sis eius reliquiae ad Michaëlem defecerunt. Eo rerum statu tyran- 22
nus, etsi eius vires undique minuebantur, tamen ab obsidione non re-
cedebat, sed, cum ne tum quidem quicquam proficeret, omissa ur-
bis oppugnatione longius abscedit et locum quendam opportunum
nactus vallum communit atque inde suburbana diripit eorumque
amoenitatem vastat. Sed Michaële eum aggresso commissaque 23

φυγήν, καὶ οἱ μὲν τῷ βασιλεῖ προσερρύησαν, οἱ δ' ἐπὶ τὰ ἑαυ-
24 τῶν ἀπήεσαν ἕκαστοι. ὁ δέ γε τύραννος μετὰ βραχίστων εἰς Ἀδριανούπολιν ἄπεισι, καὶ ὁ Μιχαὴλ αὐτῷ κατ' ἴχνος ἀκολουθεῖ καὶ πολιορκεῖ τὴν πόλιν οὐχ ἑλεπόλεσιν, ἀλλὰ σπάνει
25 τῶν ἀναγκαίων. καὶ οἱ τῆς πόλεως τῷ λιμῷ πιεζόμενοι ἀμνηστίαν τῶν ἐπταισμένων ἐκ τοῦ βασιλέως ᾐτήσαντο καὶ ταύτης τυχόντες δεσμοῦσι τὸν Θωμᾶν καὶ παραδιδόασι τῷ Μι-
26 χαήλ. ὁ δὲ ἀφαιρεῖται αὐτοῦ χεῖρας καὶ πόδας καὶ ὄνῳ
27 ἐπιβιβάσας θριαμβεύει τὸν ἄτιμον θρίαμβον. εἶτα περὶ συνιστόρων πυνθάνεται, καὶ πολλοὺς ἂν ἐκεῖνος ἐξέφηνεν, εἰ μὴ
P II 139 A ὁ Ἐξαβούλιος ὁ πατρίκιος τὴν ὁρμὴν τοῦ βασιλέως ἀνέκοψε,
28 φάμενος μὴ χρῆναι πιστεύειν κατὰ τῶν φίλων ἐχθροῖς. ὁ δέ γε Θωμᾶς ἄλλοτε ἄλλαις τιμωρίαις ὑποβαλλόμενος βιαιότατα
29 κατέλυσε τὴν ζωήν. καὶ ὁ τούτου δὲ εἰσποιητὸς υἱὸς εἰς τὸ τῆς Βιζύης πολίχνιον προσφυγών, παρὰ τῶν οἰκούντων τὸ φρούριον δεθεὶς προσήχθη τῷ βασιλεῖ καὶ ὁμοίως τῷ πεπλα- D III 397
σμένῳ πατρὶ κολασθεὶς βιαίως καὶ αὐτὸς ἀπέρρηξε τὴν ψυχήν.

5 *κατάσχεσις (κατάλυσις* E) *τοῦ Θωμᾶ. περὶ τῆς Ἡρακλείας καὶ τοῦ Παυλίου μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ τῆς ἀποστασίας ἀφισταμένων* CE

1 *βασιλεῖ* AE, *μιχαὴλ* Rwp *προσερρύησαν* A, om. E, *προσερρύοντο* Op, *προσερρύοντα* w* 3 *ἀνδριανούπολιν* D, corr. Dw 6 *ᾐτίσαντο* p* invitis ARw 8 *αὐτοῦ* * * * *χεῖρας* A 11 *ἐξαβούλιος* Rwp*Di* (v. Theoph. cont. p. 69, 19, Cedr. (Scylitz.) II p. 89, 16), *ἑξαβούλιος* AD (v. Genes. p. 44, 21) *ὁ* alterum om. B 12 *τῶν* om. E 13 *ἄλλοις* C 14 *κατένευσε* D, corr. Dw 15 *βιζύης* ARwp, v. Steph. Byz. p. 169, 13, Georg. Cypr. 1167 Gelzer, Hierocl. synecd. 632, 4 Burckhardt, Cedr. (Scylitz.) II p. 90, 1, *βυζύης* B, *βύζης* Genes. p. 44, 9. 45, 2, Theoph. cont. p. 70, 21 16 *τῷ β.*] *τε β.* D 17 *ζωὴν* B

pugna, Thomaei de industria in fugam versi partim ad regem
24 se contulerunt, partim ad sua redierunt. Tyrannus cum paucissimis Hadrianopolim abit, quem Michaël e vestigio insecutus ur-
25 bem non machinis, sed annonae penuria oppugnat. Cives urgente fame, petita delictorum ab rege venia et impetrata, Tho-
26 mam vinctum Michaëli tradunt. Is ei et manus et pedes amputat
27 et asino impositum ignominioso triumpho circumducit. Postea de consciis quaerit, quorum ille multos nominasset, nisi Hexabulius patricius regis impetum repressisset, cum diceret inimicis
28 amicos deferentibus non habendam esse fidem. Thomas vero
29 alias aliis tormentis excruciatus miserrime vitam finivit. Adoptivus item eius filius, cum in Bizyam oppidulum confugisset, a castelli habitatoribus vinctus ad regem est adductus et eodem

ἡ μὲν οὖν τοῦ Θωμᾶ ἐπανάστασις τοῦτον τὸν τρόπον κατηύ- 30
ναστο. αἱ δὲ Θρᾳκικαὶ πόλεις αἱ πάραλοι κἀκείνου παρελθόντος 31
ἔτι τῆς στάσεως εἴχοντο, καὶ μᾶλλον τῶν ἄλλων τὸ Πάνιον καὶ
ἡ Πείρινθος (οὕτω γὰρ πάλαι ὠνόμαστο ἡ Ἡράκλεια) μίσει B
τῷ πρὸς τὸν αὐτοκράτορα. ἀλλὰ τὸ μὲν Πάνιον σεισμῷ τοῦ 32
τείχους αὐτοῦ πεσόντος ἑάλω, ἡ δ' Ἡράκλεια διὰ τῆς θαλάσσης
γέγονεν ἁλωτή. ταῦτα τοίνυν κατορθώσας ὁ Μιχαὴλ ἐπάνεισι 33
τροπαιοφορῶν καὶ ἱππικοῦ τελουμένου ἀγῶνος τοὺς τῷ Θωμᾷ τὴν τυραννίδα συμπράξαντας ὄνοις ἐφεζομένους εἰσαγαγὼν εἰς τὸ θέατρον ὑπερορίαν αὐτῶν κατεδίκασε, μή τι πλέον κολάσας αὐτούς, εἰ μὴ δύο τινὰς τὸν Χοιρέαν καὶ τὸν Ζαγορηνόν, μὴ πειθομένους μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ παραδοῦναι τὰ φρούρια, ἃ κατεῖχον, ἑλὼν καὶ ἀνασκολοπίσας ἀπέκτεινε.

Τῇ γοῦν ἀποστασίᾳ τῇ τοῦ Θωμᾶ καὶ τοῖς ἐμφυλίοις πο- 24 C
λέμοις τῶν Ῥωμαϊκῶν ἀσχολουμένων δυνάμεων ἄδειαν εὑρηκότες πᾶσαν οἱ πρὸς ἑσπέραν Ἀγαρηνοί, οἳ τὸν τῆς Ἰβηρίας

14 ὅπως ἡ Κρήτη γέγονεν ὑπὸ τοὺς Ἀγαρηνούς (τῶν ἀγαρηνῶν E) CE

2 παράλιοι DEwp, v. ad XV 27, 1 καὶ ἐκείνου D 3. 5 πάνιον ARwp*Di*, Genes. p. 45, 6, Theoph. cont. p. 71, 5, v. Basil. notit. 133 Gelzer, Hierocl. synecd. 632, 5 Burckhardt; minus recte πάριον Cedr. (Scylitz.) II p. 90, 8. 11 4 πέρινθος w*p invitis AR, v. XIII 3, 29 πάλαι AEwp, τοῖς παλαιοῖς O post ἡράκλεια add. ἐστασίαζον δ' ἔτι (δὲ τῷ B) Rwp 6 δὲ p* invitis ARw 9 ἐφεζομένοις E 10 αὐτῶν κατεδίκασε AEwp, κατεψηφίσατο σφῶν O 11 τινας δύο Rwp ζαγορηνόν ARwp, ζαγᾶρηνόν C, ζαρηνόν EDw, γαζαρηνόν Theoph. cont. p. 71, 21 ss., Cedr. (Scylitz.) II p. 90, 20 12 μετὰ Rwp*Di* (v. argum. ad XV 23, 25), κατὰ A 16 πᾶσαν initio paginae om. D

quo ficticius pater supplicio affectus violenter et ipse periit. Tho- 30
mae seditione ad hunc modum compressa, maritimae Thraciae 31
civitates nihilominus, etiam illo sublato, motum eum urgebant ac prae ceteris Panium et Perinthus (sic enim Heraclea olim
appellabatur) propter odium adversus imperatorem. Ceterum 32
Panium moenibus terrae motu collapsis captum est, Heraclea
mari expugnata. Michaël his rebus bene gestis triumphans in 33
urbem rediit et ludis Circensibus Thomae adiutores asinis insidentes in theatrum introductos sola relegatione contentus gravioribus suppliciis non affecit, duobus exceptis Choerea et Zagoreno, qui, cum castella, quibus praeerant, ne post Thomae interitum quidem tradere vellent, capti in crucem acti sunt.

24. Dum Romanorum copiae Thomae defectione bellisque civilibus occupantur, Agareni occidentales, sinus Iberici incolae, qui Hispani vocantur, arrepta occasione a suo duce, quem amer-

*οἰκοῦσι κόλπον καὶ λέγονται Ἰσπανοί, τῷ σφετέρῳ προσίασιν
ἀρχηγῷ, ὃν αὐτοὶ καλοῦσιν Ἀμερμουμνῆν, καὶ ᾐτοῦντο ἀποι-*
2 *κίαν στείλασθαι, διὰ πλῆθος στενοχωρούμενοι. κἀκεῖνος κατέ-
νευσε, καὶ τούτους παραλαβὼν σὺν τριήρεσιν ἀπέπλευσε, τὰς*
3 *ὑπὸ Ῥωμαίους νήσους περιιὼν τε καὶ ληιζόμενος. ὡς δ' ἧκε*
W III 113 *καὶ εἰς τὴν Κρήτην καὶ τὸ ταύτης ἔγνωκε πάμφορον, τοὺς μὲν
πλείστους εἰς λείαν ἐκπέπομφεν, αὐτὸς δὲ μετ' ὀλίγων εἰς φυ-*
D *λακὴν δῆθεν παραλειφθεὶς τῶν νηῶν πῦρ ἐνέβαλε κατ' αὐτῶν* D III 39
4 *καὶ πάσας ἐνέπρησε. τεθορυβημένων δὲ τῶν Ἀγαρηνῶν διὰ
τοῦτο καὶ τὴν αἰτίαν ζητούντων, ὁ Ἀπόχαψ (οὕτω γὰρ ὁ σφῶν
ὠνόμαστο ἀρχηγός) "ἀποικίαν ᾐτεῖσθε" φησίν· "ἰδοὺ τοίνυν
χώρα ῥέουσα μέλι καὶ γάλα καὶ ταύτην κατασχόντες οἰκήσατε."*
5 *ἐκείνων δὲ εἰπόντων "καὶ τὰ φίλτατα ποῦ;" ὁ Ἀπόχαψ "ἐν-
ταῦθα γυναῖκές εἰσιν" ἀνθυπήνεγκεν, "ἐξ ὧν γενήσονται καὶ*
6 *παῖδες ὑμῖν οὐ μετὰ μακρόν." τούτοις πεισθέντες οἱ ἐκ τῆς
Ἄγαρ τήν τε νῆσον ὑφ' ἑαυτοὺς ἐποιήσαντο καὶ τοὺς αὐθιγενεῖς*
7 *ἐδουλώσαντο. ὅτε καὶ Κύριλλος ὁ Γορτύνης ἐπίσκοπος ἀθλήσας
ὑπὲρ Χριστοῦ μαρτυρίου κεκόμιστο στέφανον.*

1 *ἰσπανοὶ* ARw, *Ισπανοὶ* p, *Ἰσπανοὶ* *Di*, v. ad XIII 10, 18 2 *ἐκάλουν* O *ἀμερμουμνὴν* AB_1wp*Di*, *ἀμερμουμνῆν* R Cedr. (Scylitz.) II p. 91, 20 5 *περιελθών* Ewp 8 *παραλειφθεὶς* Ewp*Di*, *παραληφθεὶς* A, *περιλειφθεὶς* O, quod recipiendum esse putat *Di* vol. V p. 105 9 *ἐνέπρησε* Owp*Di*, *ἐνέπρησαν* A, *ἀνέπρησε* E 9. 10 *διὰ τοῦτο* om. C 10. 13 *ἄχαψ* w*p invitis AR, Cedr. (Scylitz.) II p. 91, 20 ss., Genes. p. 46, 13, Theoph. cont. p. 74, 4 11 *ἀρχισύμβουλος* C, sed litterae *ισ* mutatae sunt a prima manu in *ην* vel *ηγ* *ᾐτεῖσθαι* C, *ἠτεῖσθαι* (ε supra αι) E 14 *γενήσανται* w*p 15 *μικρόν* E 16 *αὐθιγενεῖς* ARDwW, *ἀνθιγενεῖς* D, *ἀντιγενεῖς* p* 17 *γορτίνης* AD, corr. Dw

mumnen vocant, locorum coacti angustiis petierunt, ut coloniam
2 deduceret. Annuit ille et cum iis triremibus impositis solvit
3 insulasque Romanorum obiens populatur. Ut autem in Cretam
quoque venit, eius fertilitate cognita maximam partem praeda-
tum mittit, ipse cum paucis ad navium custodiam relictus igne
4 iniecto omnes cremat. Quamobrem Agarenis tumultuantibus
eiusque causam requirentibus, Apochaps (id enim erat eorum
duci nomen) "Coloniam" inquit "petebatis; en regionem lacte
5 et melle manantem. Hanc occupate et incolite." Cum vero illi
dixissent: "Nostra vero carissima ubi sunt?", Apochaps "Ibi
sunt" inquit "mulieres, e quibus liberos quoque paullo post sus-
6 cipietis." His Agarenis adducti insula subacta indigenas in servi-
7 tutem redegerunt. Quo tempore Cyrillus, Gortynae episcopus,
pro Christi defensione martyris coronam accepit.

Θανούσης δὲ τῆς συζύγου τῷ βασιλεῖ ἐκεῖνος ὑπεκρίνετο 8
μὲν ἐς τὸ προφανὲς δευτέροις ὁμιλῆσαι γάμοις μὴ βούλεσθαι, P II 140 A
κρύβδην δὲ πρὸς τοὺς ἐξόχους τῆς γερουσίας διεπέμπετο ἀξιοῦ-
σθαι παρ' αὐτῶν ἑτέραν τοῦ βίου κοινωνὸν εἰσοικίσασθαι. καὶ 9
ἡ σκῆψις ὡς εὐπρεπής· δεινὸν γὰρ ἔφασαν εἶναι ἡμᾶς μὲν
βασιλεύεσθαι παρὰ σοῦ, τὰς δ' ἡμῶν συνοίκους βασιλίδος στε-
ρίσκεσθαι. ὁ δὲ πρότερον μὲν ἀκκιζόμενος τὴν ἀξίωσιν οὐ 10
προσίετο· λιπαρούντων δ' ἐκείνων πίστεις ἐξ αὐτῶν ἀπῄτει, εἰ 11
βούλοιντο ἀγαγέσθαι αὐτὸν βασιλίδα, ὡς καὶ μετὰ θάνατον
αὐτοῦ βασίλισσαν ταύτην ἕξουσι καὶ τὰ ἐκ ταύτης αὐτῷ φυησό-
μενα ὡς βασιλέας τιμήσουσι. ταῦτα δὲ τῶν τῆς συγκλήτου ἐγ- 12
γράφως αὐτῷ ἐπαγγειλαμένων, κἀκεῖνος αὐτοῖς προσεποιήσατο
πείθεσθαι καὶ εἰσοικίζεται γυναῖκά τινα, θυγατέρα λεγομένην B
γενέσθαι τοῦ βασιλεύσαντος Κωνσταντίνου, ὃν ἡ μήτηρ, ὡς ἤδη
D III 399 *ἔμπροσθεν εἴρηται, ἐξετύφλωσεν. ἣν δ' αὕτη κεκαρμένη πρὸ* 13
πλείονος καὶ ἐν τῇ νήσῳ τῇ Πρίγκιπος ταῖς ἀσκουμέναις ἐκεῖ

1 *ὅπως καὶ τίνα δευτέραν γαμετὴν εἰλήφει ὁ Μιχαὴλ* CE

1 *ἀπεκρίνετο* B 2 *ἐς* ABD, *εἰς* Rwp*Di*, v. ad XIV 12, 14 *γάμοις ὁμιλῆσαι* D *μὴ*] *οὐ* B 3 *τοὺς τῆς γερ. ἐξόχους* O 3. 4 *διεπέμπετο ἀξιοῦσθαι παρ' αὐτῶν* AE, *διαπεμπόμενος ἀξιοῦσθαι παρ' αὐτῶν παρεσκεύαζεν* Owp 7 *πρότερον* — 8 *ἐκείνων* Owp*Di*, om. AE 7 *ἀκιζόμενος* O, corr. D_w, *ἀκκιτόμενος* w*, *ἀκιζόμενος* p* 8 *προσίετο* CD*Di* vol. V p. 105, *προσίε* (τ supra) B, *προσίεται* wp*Di* *ἐξ αὐτῶν* om. O 10 *βασιλίδα* Rwp *ἐκείνην* O *ἐκ ταύτης αὐτῷ* AEwp, *ἐξ αὐτῆς* O 12. 13 *αὐτοῖς προσεποιήσατο πείθεσθαι* (*πείσεσθαι* ED_w) AED_w, *ἐνέδωκε δῆθεν τῆς* (om. B_1) *πεπλασμένης* (*πεπλασμένας* w*p) *ἐνστάσεως* Owp 14 post *μήτηρ* add. *εἰρήνη* Owp *ἤδη* om. E 15 *εἴρηται ἔμπροσθεν* E *εἴρηται*] XV 13, 6 ss. *αὕτη* AE, *ἡ γυνὴ* Owp *πρὸς* E 16 *τῇ* ante *πρίγκ.* om. B *Πριγγίπου* D, *πριγκίπου* D_w

Interea rex uxore mortua se a secundis nuptiis abhorrere 8
palam prae se ferens, clam ad principes senatus misit, ut ipsi
peterent, ut alteram duceret uxorem. Ea simulatio honesta 9
specie non carebat; neque enim convenire dicebant se ipsos a
rege quidem gubernari, uxores vero suas reginam non habere.
Ille vero eam petitionem principio tergiversando reppulit, sed 10. 11
illis instantibus petivit, ut, si vellent reginam duci, fidem sibi
darent se eam ipso quoque mortuo reginam agnituros et libe-
ros ex ea natos ut reges esse honoraturos. Quae cum senatus 12
scripto promisisset, et ipse se cedere simulavit, uxore ducta, quae
filia Constantini a matre, ut diximus, excaecati esse dicebatur
et multo ante tonsa inter monachas religioni in insula Principis 13

μοναχαῖς ἐκ πρώτης τριχὸς συγκατείλεκτο, καὶ ἡ κλῆσις τῇ
γυναικὶ Εὐφροσύνη.
14 Τοῦ πατριάρχου δὲ Θεοδότου θανόντος, ὃς ἓξ ἔτη ἀσεβῶς
τῆς ἐκκλησίας ἐκράτησεν, Ἀντώνιος προεχειρίσθη, ᾧ Κασσυ-
ματᾶς τὸ ἐπώνυμον· καὶ οὗτος δὲ τὴν περὶ τὴν πίστιν δόξαν
διέστραπτο.
15 Ὁ μέντοι βασιλεὺς στόλον ἐκπέμπει κατὰ τῶν τὴν Κρήτην
16 κατασχόντων Ἀγαρηνῶν. ἥττητο δέ, καὶ οἱ περιλειφθέντες ἐπαν-
C 17 ῆλθον τῆς ἥττης αὐτάγγελοι. εἶτ' αὖθις ἕτερον πολὺ ναυτικὸν
ἑτοιμασάμενος ἔστειλε, τούτῳ στρατηγὸν ἐπιστήσας τὸν Κρατε-
ρόν, ὃς συμβαλὼν τοῖς ἐν Κρήτῃ Ἀγαρηνοῖς πρότερον μὲν εὐ-
18 τύχησε, πολλοὺς ἐκείνων καὶ ζωγρήσας καὶ ἀνελών. εἶτα τῇ
νίκῃ τεθαρρηκὼς κἀκεῖνος καὶ ὁ ὑπ' ἐκεῖνον λαός, ὡς ἤδη
τῶν ἐναντίων ἐκνενευρισμένων καὶ μὴ ἄν ποτε προσβαλεῖν αὐ-
τοῖς τολμησόντων, ἀνέσει ἑαυτοὺς καὶ πότοις ἐξέδωκαν ἀφυ-
λάκτως καὶ ὕπνωττον κατὰ τὴν νύκτα ἐκείνην σὺν ῥᾳστώνῃ
19 πολλῇ. ἅπερ κατανοήσαντες οἱ πολέμιοι νυκτὸς αὐτοῖς ἐπῆλθον
μετὰ μεγίστου ἀλαλαγμοῦ καὶ πάντας διέφθειραν, ὡς μικροῦ
D 20 μηδ' ἄγγελον περιλειφθῆναι τῆς συμφορᾶς. καὶ αὐτὸς γὰρ ὁ

3 περὶ πατριαρχῶν CE 7 περὶ τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν CE

1. 2 τῇ γυναικὶ AE, αὐτῇ Owp 4 κασσυματᾶς AO, κασσιμᾶ E, κασσιματᾶς wp*Di* 5 περὶ supra linea add. A τὴν alterum Rwp*Di*, om. A 8 περιληφθέντες (sic) A 9 πολὺν E 10 καρτερὸν D (infra recte) 12 καὶ ante ζωγρ. om. B 13 ἐκεῖνος κ. E 15. 16 ἀφυλάκτως καὶ ὕπνωττον AE, καὶ ἀφυλάκτως ἐκώμαζον (ἐχώματον w*, ἐχώμαζον p*) ὕπνωττόν τε Owp 18 ἀλλαλαγμοῦ D, corr. Dw

deditas a primo capillo vitam agebat; nomen erat ei feminae
inditum Euphrosyne.
14 Patriarcha Theodoto mortuo, qui sex annos ecclesiae impie
praefuerat, Antonius cognomento Cassymatas in eius locum est
suffectus, perversa et ipse religione praeditus.
15 Rex missa classe contra Agarenos tenentes Cretam victus
16 est, quique cladi superfuerant, ipsi nuntium cladis attulerunt.
17 Post denuo aliam ingentem classem contra eosdem mittit, duce
Cratero, qui principio quidem rem contra Agarenos bene ges-
18 sit, multis eorum captis et interfectis. Deinde et ipse et eius
milites victoria freti, quasi adversariis iam enervatis neque un-
quam ausuris ipsos aggredi, se voluptati et poculis nullis excu-
19 biis dediderunt eaque nocte otiose dormierunt. Quo hostes intel-
lecto noctu eos cum maximo clamore adorti omnes ita ceciderunt,
20 ut vix nuntius cladis superesset. Nam et ipse classis praefectus

τοῦ στόλου ἐξάρχων ὁ Κρατερὸς ἐν πλοίῳ ἐμπορικῷ φυγὰς
ἀπιὼν κατελήφθη καὶ ἀνεσκολοπίσθη. ἕτερος δέ τις αὖθις 21
Ὠορύφας καλούμενος ναυτικὸν πιστευθεὶς ἕτερον ἐπῄει τὰς νή-
σους καὶ ταῖς πειρατικαῖς ναυσὶ τῶν Ἀγαρηνῶν συνεπλέκετο
καὶ τὴν τούτων ῥύμην τὴν πρὸς προνομὴν ἀνέκοπτε καὶ τοὺς
ἐν Κρήτῃ τοῦ προτέρου θράσους ἀνέστειλε.
Καὶ κατὰ Σικελίαν δὲ στάσις ἑτέρα κεκίνητο. ἀνὴρ γάρ 22
D III 400 *τις Εὐφήμιος λαοῦ κατάρχων τινὸς ἔρωτι περιμανεῖ μοναζού-*
σης ἐλήφθη τινός, καὶ ταύτην ἅρπαγμα τίθεται. ἐζήτει τοίνυν 23 W III 114
τοῦτον ὁ στρατηγός, διὰ τὸ ἁμάρτημα κολασθησόμενον. ὁ δὲ 24
διὰ τοῦτο τῷ τῆς Ἀφρικῆς ἀμηρᾷ φυγὼν προσελήλυθε καί οἱ
προδοῦναι τὴν Σικελίαν ὑπισχνεῖτο καὶ φόρους αὐτῷ παρέχειν
πολλούς, εἰ βασιλεὺς ἀναρρηθείη Ῥωμαίων. καὶ ὁ μὲν τὴν 25 P II 141 A
ἔφεσιν ἐκείνου πληροῖ καὶ δύναμιν αὐτῷ δίδωσι βαρεῖαν. ὁ 26
δ' Εὐφήμιος αὐτῷ τὴν Σικελίαν προδίδωσι· καὶ ἡ μὲν ὑπὸ
τοὺς Ἀγαρηνοὺς τὸν τρόπον τοῦτον ἐγένετο. ὁ δ' Εὐφήμιος 27

7 *ἑτέρα στάσις ἐν Σικελίᾳ καὶ ὅπως ὑπὸ τοὺς Ἀγαρηνοὺς ἐγένετο ἡ νῆσος* C, *περὶ στάσεως ἐν Σικελίᾳ* E

2 *δέ τις* AEwp, *δ'* O 3 *ὠορύφας* AO Theoph. cont. p. 81, 8, *ὠορυφὰς* Ewp, v. XVI 9, 47 4 *τῶν ἀγαρηνῶν* om. B 5 *τούτων* AEwp, *πολλὴν αὐτῶν* O *τὴν πρὸς προνομὴν* (*προνομὰς* Ewp) AEwp, *προνομεύων* BD, iis spoliandis: *Wo* lat., *προνομευόντων* C 6 post *ἐν* add. *τῇ* w*p*Di* invitis AR, v. XV 24, 17 8 *ἄρχων* O *τινὸς* AEwp Cedr. (Scylitz.) II p. 97, 11, om. O 9 *ἔθετο* O 10 *δίκας τίσοντα* O 11. 12 *τῆς ἀφρικῆς ἀμηρᾶ* (*ἀμυρᾶ* E(wp)) *φυγὼν* (*προςφυγὼν* (w)p) *προσελήλυθε καί οἱ προδοῦναι τὴν σικελίαν ὑπισχνεῖτο* AEwp, eadem ex E omissis tribus ulterioribus verbis Dw, *σατράπῃ τῆς ἀφρικῆς προςφυγὼν τὴν σικελίαν ὑπισχνεῖτο προδοῦναι αὐτῷ* O 14 *βαρεῖαν αὐτῷ δίδωσι* (*δίδωσιν* C) *δύναμιν* O 15 *ἡ*] *ὁ* Df corr. Dw 16 *δὲ τύραννος* O, tyrannus: *Wo* lat.

Craterus, cum in nave mercatoria fugisset, captus atque in cru-
cem actus est. Post haec alia denuo classis Ooryphae cuidam 21
est commissa, qui insulas obiens spoliandi impetum piraticarum
navium Agarenorum repressit et Cretensium quoque Agarenorum
priorem ferociam compescuit.
In Sicilia quoque alia mota est seditio; nam quidam Euphe- 22
mius, dux cuiusdam exercitus, monacham quandam, cuius insano
amore flagrabat, rapuit. Qui cum a praetore ad supplicium quae- 23
reretur, ad Africae ameram confugit et pollicitus est se Siciliam 24
ei proditurum et magna tributa pensurum esse, si Romanorum
rex appellaretur. Ille hominem voti compotem facit magnis 25
copiis datis; quibus acceptis Euphemius Siciliam ei prodit. Sic 26
illa in potestatem Agarenorum venit. Neque vero multo post 27

οὐ μετὰ μακρὸν δίκην ἐκτίνει τῆς οἰκείας παρανομίας καὶ ἀπονοίας καὶ στερίσκεται τῆς ζωῆς, ἀναιρεθεὶς βιαιότατα.
28 *Ὁ βασιλεὺς δὲ Μιχαὴλ ἐπὶ ἔτη ὀκτὼ καὶ μῆνας ἐννέα ἀπολαύσας τῆς βασιλείας νεφρίτιδι νόσῳ καὶ ἐπισχέσει τῶν οὔρων ἢ δυσεντερίᾳ (λέγεται γὰρ καὶ ἄμφω) κατέστρεψε τὴν ζωήν,*
29 *τῷ υἱῷ Θεοφίλῳ τὴν βασιλείαν καταλιπών. ἐπ' ἐκείνου δὲ*
30 *καὶ ἡ Δαλματία τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀφηνίασε. λέγεται δὲ καὶ ἀρχαῖον εἶναι χρησμὸν οὑτωσί πως περιέχοντα·*

B *ἀρχὴ κακῶν γε προσπεσεῖται τῇ χθονί,*
ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
δύσγλωττος οὗτος καὶ φιλόχρυσος λίαν.

καὶ ἦν ὡς ἀληθῶς ἐκεῖνος λίαν φιλοχρυσότατος.
25 *Αὐταρχήσας δὲ ὁ Θεόφιλος πρῶτον ἐποιήσατο ἔργον τὴν κόλασιν τῶν τῷ πατρὶ αὐτοῦ συναραμένων εἰς τὸ τῆς βασιλείας*
2 *τυχεῖν καὶ ἀνελόντων τὸν Λέοντα. καὶ ἵνα μή τις αὐτῶν δια-*

3 *τελευτὴ Μιχαὴλ τοῦ βασιλέως* C *Θεοφίλου* ARB_w*τοῦ υἱοῦ αὐτοῦ* A *ἀνελόντας τὸν Λέοντα* CE   13 *βασιλεία τοῦ* (om. ABCE) *Θεο-ὅπως ἐκόλασεν ὁ Θεόφιλος τοὺς*

1 *μικρὸν* D, corr. D_w *τίνει* B, *ἐκτείνει* D, *ἐκτίννει* E   4 *νεφρίτιδι* AE (v. Hirschium *Byz. Stud.* p. 384), *φρενίτιδι* Owp   5 *δυςεντερίαν* D, corr. D_w, *δυςουρία* C   6 *δὲ* om. E   7 *καὶ* om. B   *ἡ* om. w*p invitis AR   *δαλματία* AO, *δαλματεία* Ew, corr. p   8 *δὲ*] *γὰρ* D   *χρησμὸν*] Idem oraculum est apud Theoph. cont. p. 84, 7, Sym. mag. p. 622, 5 (v. Hirschium l. c. p. 329 s.), Cedr. (Scylitz.) II p. 99, 12   9 *γε* om. D, add. D_w, *δὲ* Cedr.   *προςπεσεῖται* Rwp Theoph. cont., Cedr., *προπεσεῖται* A, *πεσεῖται* Sym.   10 *ἄρχων* D, corr. *δράκων* D_w 11 *δύσγλωσσος* Theoph. cont., Sym.   *οὗτος*] *ἄρδην* Theoph. cont., Sym.   *φυλόχρυσος* w*p   15 *αὐτῶν*] *αὐτὸν* | E   *διαλάθῃ* O

Euphemius sceleris et temeritatis dat poenas, crudelissime interfectus.
28 Rex Michaël, cum octo annos et novem menses imperasset, nephritide et retentione urinae sive dysenteria (nam utrumque
29 fertur) obiit, imperio filio Theophilo relicto. Sub illo etiam Dal-
30 matia Romani imperii iugum excussit. Et dicitur vetustum illud oraculum fuisse:

Babylone quando Balbus imperaverit,
Draco subactus auri amore perdito,
Tellus malorum sentiet primordia.

Erat autem ille omnino avarissimus.
25. Imperio potitus THEOPHILVS nihil potius habuit, quam ut eos, qui patri ad regnum obtinendum adiumento fuerant
2 Leonemque interfecerant, suppliciis afficeret. Quorum ne quis

λάθοι, ἀθροίσας τὴν γερουσίαν ἅπασαν περὶ τὰ βασίλεια, ἐντο-
λὴν ἔφη πληροῦν πατρικήν. ἐκεῖνον γὰρ βούλεσθαι μὲν ἀξίως 3
ἀμείψασθαι τοὺς συνεργοὺς καὶ συμπράκτορας τῆς βασιλείας
D III 401 αὐτῷ, μὴ μέντοι καιρὸν ἐσχηκέναι ἐπιτελὲς ποιῆσαι τὸ βούλευμα, C
πρότερον μὲν πολέμοις ἀπασχολουμένῳ, εἶτα νοσήσαντι καὶ
τὸν βίον ἐκλελοιπότι. ἐντείλασθαι δέ οἱ τὴν ὀφειλὴν αὐτοῖς 4
ἀποδοῦναι φιλότιμον. καὶ προετρέπετο τοῖς τῷ πατρὶ ἐπὶ τῇ 5
καθαιρέσει τοῦ Λέοντος συμπονήσασι τῶν ἄλλων διακριθῆναι.
οἱ δὲ μὴ συνέντες τὸ σκαιωρούμενον ἰδίᾳ στάντες "ἡμεῖς ἐσμέν" 6
εἶπον "οἱ τῷ πατρὶ τῷ σῷ συμμαχήσαντες." καὶ ὃς αὐτίκα 7
τὸ τῆς ὑποκρίσεως περιελὼν προσωπεῖον καὶ "ἱνατί τῷ χριστῷ
κυρίου φονίους ἐπηνέγκατε χεῖρας" ἔφη "καὶ οὐ μόνον ἀνθρω-
ποκτόνοι γεγόνατε, ἀλλὰ καὶ βασιλέως αὐτόχειρες;" αὐτίκα 8
τοίνυν ἐπιστραφεὶς πρὸς τὸν ἔπαρχον "τούτους" εἶπε "παρα-
λαβὼν ἀπόδος αὐτοῖς ἀξίας ἀμοιβὰς τοῦ τολμήματος." καὶ 9 D
οἱ μὲν παρὰ τοῦ ἐπάρχου κολασθέντες ἀνδροφόνων ἔδοσαν
δίκας. ὁ Θεόφιλος δὲ καὶ τὴν μητρυιὰν ἀπελάσας τῶν βασι- 10
λείων εἰς τὴν προτέραν αὐτῆς μονὴν ἐν τῇ τοῦ Πρίγκιπος νήσῳ

17 ὅτι τὴν μητρυιὰν ἑαυτοῦ (αὐτοῦ E) εἰς τὴν μονὴν ἐξ ἧς ἐλήφθη ἐγ-
κατέστησεν (κατέστησεν E) CE

1 πᾶσαν O περὶ AEwp, εἰς O 2 πληροῦντα C 5 πολέμῳ B ἀπασχολούμενον Rwp, κατασχολούμενον B νοσήσαντα Rwp 6 ἐκλελοιπότα Rwp 7 φιλότιμον] De adiectivo cf. XVI 4, 7 9 συνιέντες BDEwp 11 ἱνατί DE, ἵνα τί B^swp 12 ἀνδροφόνοι O 16 φονέων O 17 μητρυὰν (sic) A, μητρυιᾶν D 18 πρίγγιπος D, corr. Dw, πρίγγικος E

lateret, toto senatu in regiam convocato se mandatum paternum
exsequi velle dixit. Nam illi, cum regni parti adiutores pro 3
dignitate remunerari cuperet, tempus defuisse id re ipsa prae-
standi, primum bellis impedito, deinde morbo et obitu; sibi igitur 4
mandasse, ut id debitum liberaliter persolveret. Proinde eos 5
hortabatur, qui patri ad Leonem tollendum operam navassent,
ut a ceteris segregarentur. Illi dolo non intellecto seorsim stantes 6
"Nos" inquiunt "patri tuo opem tulimus." Tum is statim per- 7
sona simulationis deposita "Cur" inquit "uncto domini sceleratas
manus attulistis, neque homicidae tantum sed et regis parri-
cidae exstitistis?" Et illico ad praefectum conversus "Hos" in- 8
quit "abductos digna facinore poena affice." Illi igitur a prae- 9
fecto pro homicidis sunt multati. Theophilus vero etiam nover- 10
cam regia eiectum in pristinum eius monasterium in insula Prin-

ἀπήγαγε, μηδὲν ἀπονάμένην τῶν ὅρκων, οὓς ὁ Μιχαὴλ περὶ
αὐτῆς ἐκ τῆς συγκλήτου ἀπῄτησε.
11 Γυναῖκα δ' ἑαυτῷ εἰσοικίσασθαι βουληθεὶς ὁ Θεόφιλος,
12 πολλὰς πολλαχόθεν ὡραίας κόρας συνήγαγεν, ἐν αἷς ἦν καὶ ἡ
Εἰκασία, παρθένος καὶ τὸ εἶδος καλὴ καὶ τῶν λοιπῶν ὑπερ-
13 φέρουσα καὶ λόγοις ὡμιληκυῖα καὶ τὸ γένος ἐπίσημος. περιῄει
P II 142 A γοῦν ταύτας θεώμενος καὶ μῆλον κατέχων χρυσοῦν, ἵν' αὐτὸ
14 ἐπιδῷ τῇ δοξάσῃ αὐτῷ ἀρεστῇ· ἐπεὶ δὲ ἦλθε κατὰ τὴν Εἰκα-
σίαν περιιών, θαυμάσας ἐκείνην τῆς ὡραιότητος ἔφη "ἐκ γυ-
15 ναικὸς ἐρρύη τὰ φαῦλα." ἡ δ' ἠρέμα καὶ μετὰ σεμνοῦ ἐρυ-
θήματος εὐστόχως πως ἀπεκρίνατο "ἀλλὰ καὶ διὰ γυναικὸς
W III 115 16 πηγάζει τὰ κρείττω." ὁ δὲ καταβροντηθεὶς ὥσπερ τῷ τῆς
παρθένου λόγῳ τὴν μὲν παρῆλθε, τὸ μῆλον δὲ τὸ χρυσοῦν τῇ D III
17 ἐκ Παφλαγονίας Θεοδώρᾳ παρέσχετο. ἡ δ' Εἰκασία τῆς βα-
σιλείας ἀποτυχοῦσα μονὴν ἐδείματο, ἣ τὴν ἐκείνης κλῆσιν ἔσχεν
ἐπίκλησιν, καὶ ἐν αὐτῇ μονάσασα ἑαυτῇ ἔζη καὶ τῷ θεῷ, τῆς

3 ὅτι γυναῖκα ἑαυτῷ ὁ Θεόφιλος ἠγάγετο· καὶ (ὅτι—καὶ om. C) περὶ τῆς γυναικὸς (om. E) Εἰκασίας CE

1 μὴ δὲ E post μηδὲν add. τὸ D, del. D_w 1. 2 ἐκ τῆς συγκλήτου περὶ αὐτῆς D 3 δ' ἑαυτῷ RwpDi, δὲ αὐτῷ AD εἰςοικίσασθαι RwpDi, εἰςοικήσασθαι A 5 κασία BD, corr. D_w 7 αὐτὸ B^sE$D_w$wpDi, αὐτῷ AR 8 post ἐπιδῷ add. μνῆστρον Owp ἀρεστῇ O^swpDi, ἀρεστὴ AE δ' RwpDi ἦλθεν DEwp, v. ad XIII 1, 5 κασίαν BD 10 ἐρρύει p* invitis ARw ἐρυθρήματος B_w (v. *B-W Byz. Zeitschr.* a. 1892 p. 216. 3) 11 ἡ ἀστοχῶς ad εὐστοχῶς add. B_r πῶς Rwp, om. D 13 παρῆλθεν DEwp, v. ad XIII 1, 5 14 δὲ BDwp κασία BD 15 ἔσχε κλῆσιν OwpDi 16 ἑαυτῇ] ἑαυτῷ C

cipis inclusit, ita ut ei iusiurandum, quod Michaël a senatu de
ea exegerat, nihil prodesset.
11 Uxorem ducturus Theophilus multas formosas puellas unde-
12 cunque arcessivit, inter quas et Icasia virgo fuit, tum forma
13 praestantior ceteris, tum erudita, tum genere illustri nata. Dum
igitur eas spectans circumit, aureum pomum manu tenens, quod
14 ei quae placuisset daret, cum ad Icasiam venisset, eius pulchritu-
15 dinem admiratus "A muliere" inquit "emanarunt mala." Cui
illa placide et cum honesto rubore sollerter respondit: "Sed et
16 meliora e muliere exuberant." At ille virginis oratione velut
attonitus, ea praeterita malum aureum Theodorae ex Paphlagonia
17 oriundae dedit. Icasia vero cum regno excidisset, monasterium
de suo nomine condidit, in quo sibi et deo vixit, eruditione

λογικῆς παιδείας μὴ ἀλογήσασα. ὅθεν καὶ συγγράμματα ἐκεί- 18
νης εὑρίσκονται εὐπαιδευσίας χαρίτων οὐκ ἄμοιρα. καὶ ἡ μὲν 19 B
οὕτω διέθετο τὰ καθ' ἑαυτὴν καὶ ἀτευκτήσασα βασιλέως φθαρ-
τοῦ τῷ παμβασιλεῖ ἑαυτὴν ἐμνηστεύσατο καὶ ἀντὶ γηρᾶς βα-
σιλείας τὴν ἐπουράνιον ἐκληρώσατο. ὁ βασιλεὺς δὲ Θεόφιλος 20
τὴν Θεοδώραν ἑαυτῷ συνοικίζει καὶ ὁμοῦ ταύτην καὶ τῷ γα-
μηλίῳ στεφάνῳ καὶ τῷ βασιλικῷ ταινιοῖ διαδήματι καὶ τοὺς
γάμους τελεῖ.

Δικαιοσύνην δὲ μετιὼν τοῖς ἀδικοῦσιν ἦν ἐπαχθὴς καὶ 21
κολαστὴς αὐτῶν ἀπαραίτητος. ἑκάστης οὖν ἑβδομάδος ἀπῄει 22
διὰ τῆς ἀγορᾶς ἔφιππος μετὰ δορυφορίας βασιλικῆς εἰς τὸν ἐν
Βλαχέρναις τῆς θεοτόκου ναόν. εἰ γὰρ καὶ ταῖς θείαις εἰκόσιν 23
τιμὴν οὐκ ἔνεμεν, ἀλλά γε τῷ σωτῆρι Χριστῷ καὶ τῇ θεομή- C
τορι πίστιν ἐτήρει, ὡς ἔλεγεν. ἀπιὼν οὖν καὶ οὕτω δημοσιεύων 24
παρεῖχεν ἑαυτὸν τοῖς προσιοῦσιν εὐπρόσιτον καὶ περὶ τῶν ὠνίων
ἐφρόντιζε καὶ ὅπως ἕκαστον τούτων πιπράσκεται ἐπολυπραγμόνει
καὶ ἐπυνθάνετο. καὶ εἰ πολλοῦ τινα πιπρασκόμενα εὕρισκε, τὸν 25
ἔπαρχον περὶ τούτου ἀνέκρινε καὶ ἢ καταγινώσκων αὐτοῦ ἔπαυε

9 ὅπως περὶ τοὺς ἀδικοῦντας διέκειτο ὁ Θεόφιλος. καὶ ὅπως τῆς εὐθηνίας τῶν ὠνίων ἐφρόντιζεν C

2 ante χαρίτων add. καὶ Rwp 4 ἑαυτὴν Rwp*Di*, ἑαυτῷ A 5 οὐράνιον B 6 εἰ¦σοικίζει B 9 ἐπαχθὴς O, corr. ex ἐπαχθεὶς A, ἐπαχθεὶς Ewp 11 βασιλικῆς om. O 13 οὐκ ἔνειμε τιμὴν Ewp 16 ἐφρόντιζον D, ἐφρόντιζεν DwE, v. ad XIII 1, 5 17 πολλῶν D 18 τούτων Rwp αὐτοῦ] τούτου Ewp

litterarum non neglecta. Unde et scripta eius reperiuntur, in 18
quibus neque doctrinam neque gratiam desideres. Et sic illa 19
res suas administravit et mortali rege frustrata regi omnium
nupsit, pro terreno regno caeleste sortita. Rex vero Theophilus 20
Theodoram simul et nuptiali corona et regio diademate ornat
nuptiasque celebrat.

Quia iustitiae cultor erat, gravem se et inexorabilem delin- 21
quentibus praebebat. Singulis igitur hebdomadibus eques per 22
forum cum satellitibus regiis in aedem deiparae Blacherniam
ibat. Etsi enim divinis imaginibus honorem non praebebat, 23
servatori tamen Christo et dei matri se fidem servare profite-
batur. Cum autem sic in publico versaretur, facilis erat aditu 24
rerumque venalium curam habebat et quanti quaeque venirent,
curiose indagabat. Quodsi qua magno venirent, praefecto de iis 25
interrogato vel magistratum abrogabat, si peccasset, vel obiur-

26 τῆς ἀρχῆς ἢ ἐπιπλήττων διώρθου. οὕτω γοῦν ποτε διιόντι
αὐτῷ προσῆλθε γυνὴ ἀδικεῖσθαι λέγουσα παρὰ τοῦ δρουγγαρίου
τῆς βίγλας (οὗτος δ' ἦν σύγγονος τῆς Αὐγούστης, καλούμενος
Πετρωνᾶς), οἰκεῖν γὰρ αὐτῷ ἐν γειτόνων, τὸν δὲ τὰς ἑαυτοῦ
D 27 διαίτας ὑψοῦντα τῇ αὐτῆς οἰκίᾳ ἐπισκοτεῖν. ἡ μὲν οὖν ταῦτα
ἐπενεκάλει τῷ Πετρωνᾷ· ὁ δὲ πρὸς τοῦ βασιλέως μετακληθεὶς D III 40
καὶ τί ἂν λέγοι τὸ γύναιον ἐρωτώμενος, ματαιάζειν ἔφη αὐτό.
28 καὶ ὁ βασιλεὺς "μηκέτι μου δεηθείη περὶ τούτου" φησί "καὶ
29 οὐκ ἔσται σοι πρὸς καλοῦ." καὶ τῇ γυναικὶ ἐνετείλατο πρὸς
τὸν Πετρωνᾶν ἀφικέσθαι καί, εἰ μὴ τὴν βλάβην θεραπευθείη,
30 αὖθις αὐτῷ προσελθεῖν. προσήει τῷ Πετρωνᾷ ἡ γυνή· ὁ δὲ
31 οὐδὲν αὐτῇ τοῦ κακοῦ θεράπευμα ἔθετο. ἡ δ' ἀπογνοῦσα δι'
ὄχλου γέγονε καὶ αὖθις τῷ βασιλεῖ· καὶ ὃς αὐτίκα τῶν τῆς
συγκλήτου τισὶν ἀπελθεῖν ἐπέταξε καὶ κατασκοπῆσαι εἰ βλά-
P II 143 A 32 πτοιτο ἡ γυνή. οἱ δὲ ἀπῆλθον εὐθὺς καὶ τὴν βλάβην ἔγνων
33 καὶ ταύτην ἀπήγγειλαν. καὶ ὁ βασιλεὺς ἔτι ἐπ' ἀγορᾶς προϊών,

1 *περὶ τοῦ γυναικαδέλφου αὐτοῦ* (*περὶ τοῦ ἀδελφοῦ τῆς Αὐγούστης* C) *τοῦ* (om. E) *Πετρωνᾶ* ACE ante hoc argumentum man. recens add. in marg. cod. E neglegentissime exarata haec: *σημείωσαι περὶ τοῦ πετρωνὰ καὶ τῆς γιναικὸς ἀψίδος* (?) *καὶ ὅπως ὁ βασιλεὺς ἐμμετὲ* | . . . .

1 *διόρθου* DE, asteriscum add. D_w 2 *πρόςελθε* D *ἀδικεῖσθα* D, corr. D_w 3 *βίγλης* DE post *ἦν* add. *ὁ* D 4 *ἐν* A, *ἐκ* Rwp 5 *τὴν αὐτὴν οὐσίαν* D, corr. D_w *ἐπισκοπεῖν* Ewp, *Wo* lat.: luminibus obstrueret 6 *ἐπενεγκάλει* p* invitis ARw *ἐπινικαλετω* punctis notatum D, *ἐπενεκαλει* (s. acc.) *τῷ* corr. D_w *παρὰ* w*p invitis AR 7 *λέγοι* O*Di*, *λέγει* AEwp 8 *δεηθείη μου* Ewp *δεηθεῖεν* D, corr. D_w 9 *ἔστι* C *καλόν* Ewp 11 *ἡ* om. D 13 *γέγονεν αὖθις* O omisso *καὶ* 14 *ἀπελθεῖν* om. C 15 *καὶ* om. O post *βλάβην* add. *τε* O

26 gato eo, quid agendum esset, praescribebat. Sic igitur aliquando praetereuntem mulier quaedam accessit, quae sibi iniuriam fieri a drungario vigiliae querebatur (is Augustae frater erat, nomine Petronas), qui cum in vicinia habitaret, aedibus in
27 altum educendis, suis luminibus obstrueret. Atque illa Petronam sic accusabat; is vero a rege arcessitus et quid muliercula diceret
28 interrogatus nugas eam agere dixit. Tum rex: "Cave" inquit
29 "denuo eadem de re me appellet, quod tibi bono non erit;" ac mulierem ad Petronam abire iussit et, nisi damnum resarciretur,
30 ad se redire. Quod cum illa fecisset neque a Petrona quicquam
31 impetrasset, re desperata rursus regem obtudit; is statim quibusdam senatoribus mandavit, ut abirent et viderent, num damnum
32 mulieri daretur. Abiere illi statim damnumque cognitum regi
33 renuntiarunt, qui in forum progressus atque ibi certo loco stans

αὐτοῦ που στάς, γυμνωθῆναι τὸν Πετρωνᾶν καὶ τυφθῆναι καὶ
στέρνα καὶ νῶτα προσέταξε, τὰ δ' ὑπ' αὐτοῦ δομηθέντα πρὸς 34
βλάβην τῆς γυναικὸς καθαιρεθῆναι καὶ ταύτῃ προσκληρωθῆναι
καὶ τὰς ὕλας καὶ τὸν τόπον αὐτόν. τοῦτο μὲν οὖν τοῦ περὶ 35
τὸ δίκαιον ζήλου τοῦ Θεοφίλου εἴρηται γνώρισμα. εἰρήσθω 36
δέ τι καὶ ἕτερον τῆς τε δικαιοπραγίας ἐκείνου καὶ τῆς περὶ τὸ
ὑπήκοον προνοίας σημαντικόν. προσώρμισέ ποτε τῷ περὶ τὰ 37
ἀνάκτορα λιμένι φορτὶς βάρει τῶν ἀγωγίμων πεφορτισμένη καὶ
τούτῳ μέχρις ἐσχάτου ζωστῆρος καταβεβαπτισμένη. ἔτυχε δὲ 38
προκύψας ὁ βασιλεὺς ἄνωθεν, καὶ θαυμάσας τὴν ναῦν διά B
τινος τῶν αὐτῷ ἑπομένων τίνος ἂν εἴη ἐπύθετο. ὡς δὲ τῆς 39
Αὐγούστης εἶναι μεμάθηκε καὶ ὡς ἄρτι ἀνήχθη ἐξ ἐμπορίας,
ἣν ἐν τοῖς τῆς Συρίας οἱ πρὸς τῆς βασιλίσσης σταλέντες ἐποιή-
σαντο μέρεσιν, εἴ τι μὲν τοῖς τοῦ πληρώματος τῆς νηὸς πρόσε- W III 116
στιν, ἐξενεγκεῖν αὐτοῖς αὐτίκα ἐκέλευσε, τῶν δὲ τῆς Αὐγούστης
ἅψασθαι μηδενός. ὡς δὲ τοῦτο γέγονε καὶ τοὺς ἄνδρας ἐκεῖ- 40
D III 404 *θεν ἀπήλασεν, ὑγρὸν κατ' αὐτῆς ἐπήνεγκε πῦρ καὶ αὐτόφορτον*
κατενέπρησε καὶ τῇ βασιλίσσῃ ἐλοιδορήσατο, "βασιλέα με" λέ- 41

7 *περὶ τοῦ πλοίου τῆς Αὐγούστης* (*βασιλίδος* A) ACE

4 *τὸν τόπον αὐτὸν* AEB^s^Dwwp, *τοὔδαφος* R *τοῦ*] *τε* D, corr. Dw 5 *ζήλου τοῦ* om. D, suppl. Dw 6 post *τὸ* add. *δίκαιον καὶ* Ewp 7 *τῷ* om. O 8 *λιμένι* AEwp, *τῷ ἐν αὐτοῖς λιμένι* O 9 *τούτῳ* Rwp*Di*, *τοῦτο* A *βεβαπτισμένη* O 11 *ἐπυνθάνετο* DEwp 12 *ἐμπορείας* D, *ἐμπορίας* corr. ex *ἐμπορείας* A 16 *ἄνδρας* AEwp, *ἐμπλέοντας* O 18 *κατενέπρησεν* Ewp*Di*, v. ad XIII 1, 5

Petronam vestibus direptis et in tergo et in pectore verberari
iussit, et quae in fraudem mulieris struxerat, destrui materiam- 34
que et solum ipsum ei attribui. Atque hoc specimen sit, quan- 35
topere iustitiae studuerit Theophilus. Sed et alterum quoddam 36
referatur, quo et eius observantia aequi et cura de subiectis ad-
hibita declaretur. Appulsa est aliquando ad regiae portum na- 37
vis oneraria pondere sarcinarum gravis eoque usque ad extremum
cingulum demersa. Rex superne prospectans navemque admiratus 38
per pedisequum quendam percontatur, cuius sit ea navis. Ut 39
autem Augustae esse cognovit nuper a mercatura reductam,
quam ab regina missi in Syriae partibus fecissent, si quid sua-
rum quidem sarcinarum in nave haberent, id statim nautas
efferre iussit neque tamen quicquam, quod ad Augustam perti-
neret, attingi. Quo facto pulsis inde nautis, Graeco igne iniecto 40
navem cum ipsis sarcinis cremavit et reginam maledictis inse-
ctatus "Regem enim" inquit "cum deus me designarit, tu me 41

γων "ἀναδείξαντος τοῦ θεοῦ, σὺ βιάζῃ ποιῆσαί με ναύκληρον.
C 42 ἴσθι δὲ ὅτι τοῖς ἰδιώταις τὸ ἐμπορεύεσθαι προσκεκλήρωται, ἵν'
43 ἐκεῖθεν τὰς πρὸς τὸ ζῆν πορίζοιντο ἀφορμάς. εἰ δ' ἡμεῖς μετὰ
τῆς βασιλικῆς εὐετηρίας καὶ τὰ ἐξ ἐμπορίας ἑαυτοῖς περιποιεῖσθαι πειρώμεθα, πόθεν ἂν οἱ τῆς τύχης τῆς ἰδιώτιδος τὰ ζωαρκῆ συμπορίσαιντο;"

26 Τῇ δὲ βασιλίσσῃ πατρὶς ἦν ἡ χώρα τῶν Παφλαγόνων,
πατέρες δ' αὐτῇ Μαρῖνος καὶ Θεοκτίστη τῶν εὖ γεγονότων ἐν
τῇ χώρᾳ τῇ κατ' αὐτούς, εὐσεβεῖς δὲ ἄμφω καὶ τῶν σεβα-
2 σμίων εἰκόνων προσκυνηταί. τῆς δὲ Θεοδώρας τῷ βασιλεῖ συ-
ζυγείσης καὶ ἡ μήτηρ αὐτῆς Θεοκτίστη, ἣ καὶ Φλωρῖνα ἐπω-
3 νομάζετο, ζωστὴ καὶ πατρικία τετίμητο. ᾤκει δὲ κατὰ τὴν
D μονὴν τῶν Γαστρίων, ὡς δέ τινες λέγουσι καὶ τὴν μονὴν αὐ-
4 τὴν ἐκείνη ἐδείματο. ὡς γοῦν πρὸς μάμμην ἀπήγοντό ποτε
πρὸς αὐτὴν τὰ τοῦ βασιλέως θυγάτρια, ἦσαν δὲ πέντε, καὶ αἱ
κλήσεις ἐκείνων αὗται, Θέκλα καὶ Ἄννα, Ἀναστασία τε καὶ σὺν
5 Πουλχερίᾳ Μαρία. ἡ δὲ δωρήμασι τὰς παῖδας ἐδεξιοῦτο καὶ

7 *περὶ τῶν γονέων τῆς Θεοδώρας· καὶ περὶ τῆς μητρὸς αὐτῆς* (*καὶ—αὐτῆς* om. A) *καὶ τῶν θυγατέρων τοῦ βασιλέως* (*τῶν τ. βασ. θυγατέρων* A) ACE

1 *βιάζῃς* E *με ποιῆσαι* Ewp 3 *ἀφορμὰς πορίζοιντο* B *εἰ*] *ἡ* D post *ἡμεῖς* add. *καὶ* A, om. Rwp*Di* 5 *πόθεν* om. p* invitis ARw *ἂν* om. A, add. Rwp*Di* *ἰδιώταδος* D, corr. D_w *τὰ*] *τῇ* D *ζωαρχικῇ* D, corr. D_w 7 *βασιλεία* D, corr. D_w *πατρὸς* D, corr. D_w 8 *δὲ* O *αὐτῇ* om. O *μαρῖνος* om. D, suppl. D_m *θεοκτις ὧν ἐγεγονότων* D, corr. D_w 9 *καὶ* add. ante *ἄμφω* BC 11 *φλωρίνα* ARwp, corr. *Di* 12 *πρακία* D, corr. D_w 13 *γαστριῶν* wp*Di* invitis AR, v. Cedr. (Scylitz.) II p. 103, 16 et *Duc* Cpol. Christ. lib. IV n. 43 p. 109 14 *ἐκείνην* CD *οὖν* ED_wwp *μάρμην* D, corr. D_w 14. 15 *πρὸς αὐτήν ποτε* Ewp 16. 17 *σὺν Πουλχερίᾳ*] *συμπλουχερία* D 17 *τοὺς* C

42 nauclerum facere contendis. Scito autem mercaturam privatis
hominibus esse attributam, unde pecunias ad vitam degendam
43 sibi quaererent. Quodsi nos praeter regni opes etiam mercaturae
emolumenta nostram in rem converterimus, unde homines tenuioris fortunae victum sibi comparabunt?"

26. Reginae patria erat Paphlagonia, parentes Marinus et
Theoctista, ex nobili illius provinciae familia, ambo pii et sacra-
2 rum imaginum adoratores. Theodora vero regi desponsa, etiam
mater eius Theoctista, Florina cognomento, zostae et patriciae
3 dignitatem erat consecuta. Habitabat autem iuxta Gastria mona-
4 sterium idque, ut quidam asserunt, condiderat. Filiolae igitur re-
giae quinque, quarum nomina erat Thecla, Anna, Anastasia,
Pulcheria, Maria, ad eam ut aviam aliquando adducebantur.
5 Illa puellas munusculis sibi conciliabat ac seorsim hortabatur ad

ἰδίᾳ παραλαμβάνουσα παρῄνει τὰς ἁγίας εἰκόνας σεβάζεσθαι,
καὶ ἐκ κιβωτίου σεβάσμια ἐκφέρουσα ἐκτυπώματα προσκυνεῖν
αὐτὰ παρεσκεύαζε τὰς θυγατριδᾶς καὶ ἀσπάζεσθαι, καὶ ταῖς
κεφαλαῖς αὐτῶν ἐπετίθει καὶ ταῖς προσόψεσι. καί ποτε ἐκεῖ- 6
θεν ἐπανηκούσας τὰς παῖδας ἠρώτα ὁ βασιλεὺς τί παρὰ τῆς
μάμμης αὐταῖς γένοιτο καὶ τίνα παρ' ἐκείνης αὐταῖς λέγοιτο. P II 144 A
αἱ μὲν οὖν λοιπαὶ ἐσιώπων, ἡ Πουλχερία δὲ νηπιάζουσα ἔτι 7
D III 405 τἆλλα τε διηγεῖτο ψελλιζούσῃ φωνῇ καὶ προσεπῆγεν ὡς εἴη τῇ
μάμμῃ νινία ἐν κιβωτίῳ, τὰς εἰκόνας οὕτω καλοῦσα, "καὶ ταῦτα
τῇ κεφαλῇ καὶ τοῖς προσώποις ἡμῶν ἐπιτίθησι καὶ ἀσπάζεσθαι
δίδωσιν." ἐντεῦθεν τὰς σεπτὰς εἰκόνας γνοὺς διδάσκεσθαι προσ- 8
κυνεῖν τὰς αὐτοῦ θυγατέρας παρὰ τῆς μάμμης, οὐκέτι πρὸς
αὐτὴν ἀπάγεσθαι τὰς παῖδας παρακεχώρηκεν, ἕτερον δὲ οὐδὲν 9
λυπηρὸν εἰς τὴν Θεοκτίστην εἰργάσατο, αἰδούμενος ἐκείνην διὰ
τὸ κῆδος καὶ πλέον διὰ τὴν ἀρετήν, ἣ καὶ πολλάκις ἤλεγχε
τοῦτον, ὅτι τοὺς ὀρθοδόξους ἐκόλαζε καὶ ταῖς ἱεραῖς εἰκόσιν B
ἐνύβριζε, καὶ διὰ ταῦτα ἀπεχθῶς διακεῖσθαι πρὸς αὐτὸν ἐπλη-
ροφόρει πᾶν τὸ ὑπήκοον. τοιοῦτον δή τι καὶ περὶ τὴν βασι- 10
λίδα ἐγένετο. ἦν τι παρὰ τοῖς ἀνακτόροις ἀνθρώπιον καὶ τοῦ

19 περὶ τῆς δεσποίνης Θεοδώρας καὶ τοῦ παράφρονος Δένδερι (βένδερι E) CE, περὶ τοῦ Δένδερι A

victimae particeps esset, a Photio patriarcha est prohibitus, cum
9 homicidam eum appellaret; ob quam repulsam iratus, indicto con-
cilio Photium ecclesia expulit, quasi Ignatius contra leges a Barda
Caesare sede pontificia deiectus esset neque ille rite divinum
thronum eo superstite occupasset, eoque praetextu Patrocli, ut
10 aiunt, usus S. Ignatium in pontificatus apicem restituit.

Ἄρτι δὲ τῶν σκήπτρων ἐπειλημμένου αὐτοῦ ἀνταίρουσιν 11
αὐτῷ χεῖρα τῶν πατρικίων τινὲς Γεώργιος καὶ Συμβάτιος, οἳ
καὶ ληφθέντες ταῖς εἰς σῶμα ποιναῖς ἐκολάσθησαν. ἔστεψε δὲ 12
βασιλεῖς καὶ Κωνσταντῖνον καὶ Λέοντα τοὺς υἱοὺς αὐτοῦ, μετέ-
πειτα δὲ καὶ τὸν τρίτον Ἀλέξανδρον. τὸν δὲ τέταρτον Στέφανον 13
πατριάρχην βουλόμενος προχειρίσασθαι, νεώτατον ὄντα τότε,
τῷ κλήρῳ τῆς τοῦ θεοῦ ἐκκλησίας καταριθμεῖ. τὰς δέ γε 14
θυγατέρας αὐτοῦ τέσσαρας οὔσας τῇ βασιλικῇ μονῇ τῆς ἁγίας
Εὐφημίας κατέταξε.

Κατὰ δὲ τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν ἐκστρατεύσας ἡτ- 15 D
τήθη, καὶ πολλοὶ μὲν ἔπεσον, καὶ ἑάλω δ' ἂν καὶ αὐτός, εἰ
D IV 25 *μὴ ὁ Ἀβάστακτος Θεοφύλακτος ὁ πατὴρ τοῦ μετὰ ταῦτα βα-*
σιλεύσαντος τοῦ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ αὐτὸν διεσώσατο.
ἐπανελθὼν δὲ εἰς τὴν μεγαλόπολιν τὸν γαμβρὸν αὐτοῦ Χριστο- 16
φόρον κατὰ τῶν Ἀγαρηνῶν εἰς τὴν Κρήτην ἐκπέπομφεν· ὃς
συμβαλὼν αὐτοῖς καὶ τρεψάμενος τὸ θράσος σφῶν ἐταπείνωσεν.
ἐξεστράτευσε δὲ καὶ κατὰ τῶν ἐν τῇ ἑῴᾳ μοίρᾳ Ἀγαρηνῶν ὁ 17

1 *περὶ ἐπιβουλῆς* CE   3 *ὅτι ἔστεψε βασιλεῖς τοὺς υἱοὺς αὐτοῦ* (*τ. υἱοὺς αὐτ. βασ.* E)· *τὰς δὲ θυγατέρας ἀπέκειρεν* CE   10 *ὅτι ἐν τῇ Κρήτῃ ἐκστρατεύσας ἡττήθη* CE

1 *ἐπιλιμμένου* D, corr. D_w 2 *συμβάτιος* AO Cedr. (Scylitz.) II p. 205, 18, *σαββάτιος* Ewp   3 *καὶ* (om. B^swp) *γνωσθέντες ληφθέντες τε* (om. C) Owp   4 *καὶ* ante *κωνστ.* om. Rwp*Di*   7 *καταριθμεῖ* rasura corr. ex *καταριθμεῖν* D   *γε* om. Ewp   9 *κατέταξε* Rwp*Di*, *κατέταξεν* A, v. ad XIII 1, 5   10 *ἐκρήτη* D, *ἐν κρήτη* omisso *τῇ* D_w *Κρήτῃ*] v. Hirschium l. c. p. 390   11 *καὶ* ante *ἑάλω* om. Rwp   *καὶ αὐτὸς* AEwp, *κἀκεῖνος* O   13 *τοῦ* prius om. Rwp   16 *αὐτοῖς* Rwp*Di*, *αὐτὸν* A   *στρεψάμενος* D, corr. D_w *σφῶν* (*σφῷν* E) *ἐταπείνωσεν* AEwp, *ἔθραυσε τὸ βαρβαρικόν* O *Wo* lat.   17 *τῶν τὴν ἑῴαν μοῖραν* E

Basilio modo rerum potito quidam ex patriciis se opposuere, 11
Georgius et Symbatius, qui deprehensi et capti poenas corpori-
bus dederunt. Filios tres Constantinum, Leonem, Alexandrum 12
augustalibus coronis ornavit. Quartum natuque minimum Stepha- 13
num patriarcham creare cum vellet, in numerum cleri ecclesiae
rettulit. Filias quattuor in regio monasterio S. Euphemiae collo- 14
cavit.

Bello contra Cretenses Agarenos suscepto victus est multis- 15
que caesis et ipse captus esset, nisi Abastactus Theophylactus,
Romani Lacapeni, qui post regnavit, pater eum eripuisset. In 16
magnam urbem reversus Christophorum, affinem suum, in Cretam
contra Agarenos misit; qui cum eos acie vicisset, eorum auda-
ciam fregit. Idem imperator Basilius contra orientales quoque 17

αὐτοκράτωρ Βασίλειος καὶ κατὰ τῶν Μανιχαίων ὧν ἐξῆρχεν
18 ὁ Χρυσόχειρ καλούμενος, καὶ φρούριά τινα κατασχὼν καὶ λείαν
ἐλάσας ἐπεχείρησε μὲν πολιορκῆσαι καὶ τὴν Τεφρικὴν τὴν αὐ-
τῶν μητρόπολιν, γνοὺς δὲ ταύτην καὶ προσεδρείας δεομένην
P II 168 A 19 πολλῆς καὶ ἄλλως δυσάλωτον, ἄρας ἐκεῖθεν ἀπῄει· καὶ τὸν
Εὐφράτην εὑρὼν πολὺν ῥέοντα, ζεύξας τοῦτον ναυσὶ διεπέρασε
καὶ πολλὰ τῶν ἐκεῖ ληισάμενος καὶ φρούρια ἑλὼν ἕτερα καὶ
τοῖς μὲν τῶν βαρβάρων σπεισάμενος, τοὺς δὲ προσκεχωρηκότας
αὐτῷ δεξάμενος, εἰς τὴν τῶν πόλεων προκαθημένην ἐπανελή-
λυθε καὶ διὰ μέσης θριαμβεύσας τῆς πόλεως εἰς τὰ βασίλεια
20 ἐπανῆκεν. ὁ δὲ τῶν Μανιχαίων προεστηκὼς ὁ Χρυσόχειρ κατὰ
21 τῶν Ῥωμαϊκῶν ἐπῄει χωρῶν καὶ αὐτὰς ἐληΐζετο. στέλλει τοί-
22 νυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν δομέστικον τῶν σχολῶν. ὅτι
δὲ μὴ ἀξιόχρεων ἐπήγετο δύναμιν, κατὰ συστάδην αὐτῷ συμ-
23 βαλεῖν οὐκ ἔκρινε δεῖν. ὅπῃ δὲ παρείκοι, τοῖς αὐτοῦ συμπλε-
B κόμενος σκιδναμένοις καὶ ποιουμένοις καταδρομὰς ἐκάκου
αὐτοὺς καὶ οὐκ ἀδεῶς εἴα ποιεῖσθαι τὰς ἐκδρομὰς καὶ τὰς
24 λεηλασίας. διὸ καὶ ἣν ἤδη ἴσχυσε λαβεῖν λείαν ὁ Χρυσόχειρ

11 ὅπως ὁ Χρυσόχειρ ἡττήθη παρὰ Ῥωμαίων καὶ ἀνῃρέθη C

1 αὐτοκράτωρ om. D 3 ἀλίσας D, corr. Dw 4 προςεδρείας OwpDi, προςεδρίας AE, v. ad XVII 23, 34 7 καὶ ante τοῖς] τὰ p* 8 προκεχωρηκότας E, προκεχειρηκότας D, corr. Dw 9 αὐτῷ om. D ἐπανελήλυθε RwpDi, ἐπανελήλυθεν A, v. ad XIII 1, 5 10 θριαμβ. διὰ μέσης Rwp 11 προεστηκὸς p* 12 ἐπίει D, corr. Dw ἐλειίζετο D, corr. Dw τοίνυν w*p 13 δομέστιχον p* 14 μηδὲ D 15 παρήκοι ARwp, corr. Di 16 ποιουμένοι w*p 18. p. 421, 1 ἐπαγ. ὁ χρυσόχειρ O

Agarenos et Manichaeos, qui cuidam Chrisochiri parebant, est
18 profectus, et castellis quibusdam captis actaque praeda etiam
Tephricam, eorum metropolim, obsidere statuit, sed quod eam
cum longam obsidionem postulare tum expugnatu difficilem esse
19 cognovisset, inde discessit; tum Euphratem exundantem navi-
bus iunctum transiit et circumiacentia loca populatus, multis
castellis expugnatis, cum barbarorum aliis pace facta, aliis in
deditionem acceptis, Cpolim reversus triumphans per mediam
20 urbem invectus in regiam rediit. At Chrysochire, Manichae-
21 orum principe, Romanas provincias invadente et populante, rex
22 domesticum scholarum mittit; qui quia iustas copias non ad-
23 ducebat, acie cum hoste decernendum esse non ratus, ubi res
ferebant, in incursionibus palantibus detrimentum inferebat et
24 impediebat, quominus securi praedatum exirent. Quare Chry-
25 sochir abducta, quam ceperat, praeda domum rediit. Ac scho-

ἐπαγόμενος οἴκαδε ἐπανέστρεφεν. ὁ δὲ δομέστικος τῶν σχολῶν 25
δύο στρατηγοῖς ἐνετείλατο παρέπεσθαί οἱ μετὰ τῶν περὶ αὐτοὺς
D IV 26 ταγμάτων καὶ μὴ ἐᾶν τοὺς βαρβάρους σκίδνασθαι καὶ λεηλατεῖν.
ἑσπέρας δὲ τοῦ μὲν Χρυσόχειρος καὶ τῶν περὶ αὐτὸν αὐλισα- 26
μένων ἐν ὑπωρείᾳ, τῶν δὲ Ῥωμαίων τὰ μετέωρα προκατειλη-
φότων, ἔρις ἐνέπεσε περὶ πρωτείων καὶ τοῦ τίνες ἂν εἶεν ἀγα-
θοὶ μᾶλλον τὴν ἰσχὺν τοῖς ἀμφοῖν τῶν στρατηγῶν στρατιώταις.
ὡς δ' ἕκαστοι ἑαυτοὺς κρειττονεύειν τῶν ἄλλων ἐμεγαλαύχουν, 27
εἷς τις λῦσαι τὴν ἔριν σφίσι βουλόμενος "ἵνα τί μάτην" φησί
"συστρατιῶται θρασυνόμεθα, ἐνὸν μὴ λόγοις, ἀλλ' ἔργοις ἄρτι C
φανῆναι τίνες ἄνδρες εἰσὶν ἀγαθοὶ τῶν πολεμίων παρόντων;"
ἔδοξεν οὖν ἡ βουλὴ τοῦ ἀνδρὸς ἀγαθὴ καὶ αὐτίκα τοῖς πολε- 28
μίοις ἐπέθεντο. οἱ δὲ τῷ αἰφνιδίῳ καταπλαγέντες νῶτα τοῖς 29
βάλλουσιν ἔτρεψαν, καὶ τῆς διώξεως ἐπὶ πολὺ γενομένης κατε-
στρώθη τὸ μεταξὺ πεδίον νεκροῖς, καὶ αὐτὸς δὲ ὁ Χρυσόχειρ
ἔπεσε τότε, καὶ πολλοὶ δ' ἐζωγρήθησαν καὶ τῷ βασιλεῖ ἐστά-
λησαν δέσμιοι, καὶ αὐτὴ δ' ἡ κεφαλὴ τοῦ Χρυσόχειρος.
Ἰγνατίου δὲ τοῦ πατριάρχου μεταστάντος εἰς τὰς ἐκεῖθεν 30

18 *ὅτι τοῦ Ἰγνατίου τελευτήσαντος ὁ Φώτιος αὖθις ἀνήχθη εἰς τὸν θρόνον τὸν πατριαρχικόν* (*εἰς—πατρ.* om. E) CE

2 *παρὰ πεσθαί οἱ* D, corr. D_w 3 *τοὺς βαρβάρους* AE, *τοὺς μανιχαίους* O *Wo* lat., *τοῖς βαρβάροις* wp 5 *μετεωρότερα* Rwp 7 *τὴν ἰσχὺν μᾶλλον* B *ἀμφὶ τὼ στρατηγὼ* D_w 7—9 *στρατιώταις—λῦσαι* om. E 9 *λῦσαι* B^sC*Di*, *λύσαι* ADwp *σφίσι τὴν ἔριν* D 9. 10 *φησὶ* post *συστρ.* Rwp 12 *οὖν* om. D 14 *ἔστρεψαν* CE$B^s$$D_w$wp *διόξεως* p* 16 *ἀπεστάλησαν* D 17 *χρυσόχειρος* corr. ex *χρυσόστομου* (sic) D

larum domesticus duos duces se cum suis legionibus sequi iussit
neque pati barbaros palantes praedas agere. Vesperi cum Chry- 26
sochir cum suis ad radices montis castra haberet, iugo a Ro-
manis praeoccupato, contentio de virtute inter utriusque ducis
milites est orta, utri maiore vi bellica florerent. Ut vero sin- 27
guli se praestare ceteris gloriabantur, quidam litem sedaturus
"Quid" inquit "commilitones frustra nos iactamus, cum hoste
propinquo non verbis sed factis iam demonstrare liceat, qui
sint viri fortes?" Quo consilio probato statim hostes invaserunt, 28
quos subito impetu perculsos terga dantes diu persecuti tantam 29
eorum stragem ediderunt, ut interiecta planities corporibus mor-
tuorum impleretur; cecidit et Chrysochir multique capti et ad
regem missi una cum Chrysochiris capite.
Ignatio patriarcha defuncto post ecclesiam per XI annos 30

μονάς, ὃς ἕνδεκα ἔτη τὰ πάντα τοὺς τῆς ἐκκλησίας ἴθυνεν
οἴακας, ὁ Φώτιος τὸ δεύτερον παρὰ τοῦ Βασιλείου εἰς τὸν τῆς
D 31 *ἀρχιερωσύνης θρόνον ἀνάγεται. ἐπιβουλὴ δὲ συσκευαζομένη*
W III 136 32 *κατὰ τοῦ βασιλέως οὐκ ἔλαθεν. ὅθεν ὁ μὲν ἐξάρχων αὐτῆς*
Ῥωμανὸς ὁ Κουρκούας ἐξεκόπη τὰ ὄμματα, οἱ δὲ τούτῳ συν-
ομοσάμενοι αἰκισθέντες καὶ καρέντες τὴν τρίχωσιν ὑπερορίαν
κατεδικάσθησαν.

9 *Ἤδη δὲ τοῦ ἔαρος ἀναλάμποντος ἐκστρατεύει κατὰ τῆς*
Συρίας τὸν ἕνα τῶν υἱῶν τὸν Κωνσταντῖνον ἔχων μεθ' ἑαυτοῦ
καὶ εἷλε τῶν φρουρίων τινά, ἔνιοι δὲ προσεχώρησαν αὐτῷ διὰ
2 *τὴν τῶν ἄλλων ἅλωσιν δειλιάσαντες. εἶτα τῇ Γερμανικείᾳ προσ-* D IV 27
βάλλει καὶ τὰ προάστεια δῃώσας αὐτῆς ἀφίκετο πρὸς πόλιν
3 *τὴν Ἄδαταν καὶ ταύτην ἐπολιόρκει. ὀλιγώρως δὲ πρὸς τὴν*
πολιορκίαν διακειμένων τῶν πολιτῶν αὐτῆς ἤρετο αὐτοὺς ὁ Βα-
P II 169 A *σίλειος ὅτῳ πεποιθότες οὐ προσέρχονταί οἱ, ἤδη τῆς πόλεως*
4 *ἁλισκομένης. καί τις τῶν χρόνῳ προβεβηκότων φησὶν ἀκριβῶς*
εἰδέναι ὡς "οὐχ ὑπὸ σοῦ πέπρωται τὴν πόλιν ἁλῶναι νυνί,

3 *περὶ ἐπιβουλῆς* C 8 *ἐκστρατεία κατὰ Συρίας* C 11 *ὅτι πολιορκῶν τὴν Ἄδαταν ὁ βασιλεὺς καὶ ὁρῶν τοὺς ἐντὸς μὴ φροντίζοντας τῆς πολιορκίας, ἤρετο τὸν τρόπον καὶ ἀπηγγέλη αὐτῷ* C

2 *ὁ* om. B 5 *κουρκούα* w*p (*Wo* lat.: Curcuas) 6 *τρίχα* Ewp 8 *ἀναλάμψαντος* D *τῆς* om. () 9 *τὸν* prius] *τὸν* AR, *τῶν* B, om. Ewp 10 post *δὲ* add. *καὶ* Rwp 12 *προάστια* D, corr. D$_w$ *δῃώσας* BD$_w$w*Di*, *δηώσας* AR, *δηκιώσας* p* 13 *ἄδαν-ταν* D, corr. D$_w$, *Ἀδάπαν* Cedr. (Scylitz.) II p. 214, 16 13. 14 *πρὸς τὴν πολ.* post *αὐτῆς* D 15 *οὔπω* D, *ὅτῳ* corr. D$_w$ *προσ-έρχονται ... ἤδη* D, corr. et suppl. D$_w$ 16 *τῷ* D, *τις* corr. D$_w$ *χρόνων* D, corr. D$_w$ 17 *ὑπορο πέπραται* (ut videtur) D, *ὑπὸ σοῦ πέπρωται* corr. D$_w$ 17 *ἁλῶ* (punctis notatum) *καὶ τὴν πόλιν* | *νυνὶ* D, corr. D$_w$

gubernatam, Photius a Basilio secundum in pontificia sede collo-
31. 32 catur. Insidiae regi structae non latuerunt, eiusque princeps
Romanus Curcuas oculis est privatus, reliqui flagris caesi rasis-
que pilis relegati.

9. Sub vernum tempus una cum filio Constantino Syriae
bellum infert, castella quaedam capit, quosdam iniecto ex cete-
2 rorum expugnatione terrore in deditionem accipit. Deinde Ger-
maniciam invadit et suburbiis incensis urbem Adatam obsidet.
3 Civibus negligenter se defendentibus, Basilio rogante, qua re
4 freti se non dederent, urbe iamiam capienda, quidam provectae
aetatis homo ait se certo scire, non esse in fatis, ut nunc urbs
ab ipso caperetur, sed ab alio, qui ex eius lumbis descenderet,

ἀλλ' ὑφ' ἑτέρου τῶν ἐξ ὀσφύος καταγομένων τῆς σῆς Κων-
σταντίνου τὴν κλῆσιν." τοῦ δὲ βασιλέως τὸν υἱὸν ἐπιδείξαντος 5
καί "οὗτος ὁ Κωνσταντῖνός ἐστι" φήσαντος, ὁ γηραιὸς ἐκεῖνος
"οὐχ οὗτος" εἶπεν "ὁ Κωνσταντῖνός ἐστιν, ὑφ' οὗ ἡμῶν ἡ
πόλις ἁλώσεται, ἕτερος δέ τις τῶν ἀπογόνων τῶν σῶν." μη- 6
νίσας οὖν ἐπὶ τοῖς τοῦ πρεσβύτου προμαντεύμασιν ὁ Βασίλειος
κραταιότερον τῇ πολιορκίᾳ ἐπέθετο. ἐπεὶ δὲ οὐδὲν ἤνυε, καὶ 7
ψῦχος δὲ γεγονὸς ἐλύπει σφόδρα τὸ στράτευμα, τὴν πολιορκίαν
λιπὼν ἐπανόδου ἐμέμνητο, τοὺς αἰχμαλώτους ἀναιρεθῆναι προσ-
τάξας, ἵνα μὴ φυλακῆς δέωνται ἤ τι νεωτερίσωσιν ἀδείας λα- B
βόμενοι.

Οἱ δ' ἐκ Ταρσοῦ καὶ Μελιτηνῆς Ἀγαρηνοὶ τὰς Ῥωμαϊκὰς 8
κατέτρεχον χώρας, οἷς ἀντεπιὼν ὁ στρατηλάτης Ἀνδρέας τὰς
ὁρμὰς αὐτῶν ἀνέκοπτεν. ἐπιστείλαντος δὲ αὐτῷ τοῦ ἀμηρᾶ 9
τῆς Ταρσοῦ ὡς "οὐδέν σε ὁ τῆς Μαρίας υἱὸς ὀνήσει κατὰ σοῦ
ἐπιόντος μου", ἐκεῖνος τὴν βλάσφημον ἐπιστολὴν εἰκόνος τῆς
θεομήτορος ἐξηρτήσατο, "ἀνταπόδος τῷ ἀλαζόνι" λέγων "ὦ
δέσποινα, τοῦ φρυάγματος τὰ ἐπίχειρα." καὶ ταῦτα εἰπὼν ἐχώ- 10

12 *ὅπως οἱ ἐκ Ταρσοῦ καὶ Μελιτηνῆς Ἀγαρηνοὶ ἡττήθησαν* C

3 post *οὗτος* supra vocem add. *ἐστιν* C *κωνστάντιος* D, corr. D_w *ἐστι* om. C 4 *οὐχ οὗ* D, corr. D_w *οὕτως* E *ἀφ'* D, corr. D_w 4. 5 *ἡ πόλις ἡμῶν* D 6 *πρεσβυτέρου* BC, *πρεσβύτου* C sed *ου* in ras. *μαντεύμασιν* C 7 *δ'* D 8 *ψύχος* ARwp, corr. *Di* *δὲ* om. B 12 *μελιτινῆς* C, *μελιτινῆς* D mutat ex *μελητηνῆς* 14 *ἀνέκοπτεν* R^swp*Di*, *ἀνέκοπτε* A, v. ad XIII 1, 5 *αὐτοῦ* D, *αὐτῷ* corr. D_w 15 *τῆς ταρσοῦ* om. D *Wo* lat. *κατά σου* D, corr. D_w 16 post *ἐπιστολὴν* add. *ἀναλαβὼν* B, *λαβὼν* Rwp 17. 18 *λέγων* post *δέσποινα* D

nomine Constantino. Cum vero rex filio demonstrato eum esse 5
Constantinum dixisset, senex autem diceret eum non esse Con-
stantinum, a quo sua urbs capienda esset, sed alium quendam
ex regis posteris, Basilius ob eam senis divinationem iratus 6
oppugnationem urbis acrius urget; cum autem nihil proficeret, 7
sed frigus exercitum valde infestaret, soluta obsidione reditum
cogitat, captivis interfici iussis, ne custodia opus esset neve illi
opportunitatem nacti quid novarent.

Cum autem Tarsenses et Melitenaei Agareni provincias Roma- 8
nas incursarent, dux Andreas eorum insolentiam reprimebat et 9
missis ad se ab amera Tarsensi blasphemis litteris, si ipse illum
invaderet, nihil Mariae filium profuturum, illa accepta epistula
et imagini dei matris appensa "Domina" inquit "remunerare
fremitum hominis arrogantis." His dictis contra blasphemum 10

ρει κατὰ τοῦ βλασφημήσαντος, καὶ μάχης κροτηθείσης τρέπον-
ται οἱ πολέμιοι, καὶ γίνεται τούτων φόνος πολύς, καὶ αὐτὸς
C 11 δὲ ὁ ἀμηρᾶς ἀποσφάττεται, μετρίων διαφυγόντων τινῶν. φθο-
νηθεὶς δὲ ὁ στρατηλάτης διεβέβλητο ὡς δυνάμενος καὶ τὴν D IV 28
12 Ταρσὸν ἐξελεῖν οὐκ ἠθέλησε. διὸ ἀφαιρεῖται μὲν τὴν ἀρχὴν
ὁ βασιλεὺς ἀπ' αὐτοῦ, δίδωσι δὲ ταύτην τῷ Στυππειώτῃ ἐπαγ-
γελλομένῳ καὶ τὴν Ταρσὸν ἐκπορθῆσαι καὶ ἄλλα πλείω κατωρ-
13 θωκέναι νεανιευομένῳ· ὃς οὐ μόνον ὧν ηὔχει οὐδὲν κατωρ-
θώκει, ἀλλὰ καὶ δυστυχήματι περιπέπτωκεν ἐξ ἀμελείας καὶ
14 ἀπερισκέπτου σκηνώσεως. γνόντες γὰρ οἱ βάρβαροι τὸ ἐκείνου
στρατόπεδον ἀφυλάκτως ἔχον, νυκτὸς αὐτῷ ἐπιτίθενται καὶ
ἀναιροῦσι πολλούς, οἱ πλείους δ' ὑπ' ἀλλήλων συμπατούμενοι
15 διεφθείροντο· καὶ οὕτως ὑπερέσχον οἱ ἐκ τῆς Ἄγαρ. ἀλλὰ τὰ
D μὲν ἑῷα τοῦτον ἔσχε τὸν τρόπον, χειρόνως δὲ διέκειντο τὰ
ἑσπέρια.

16 Ἥ τε γὰρ τοῖς Ῥωμαίων βασιλεῦσιν ὑπήκοος Ἰταλία καὶ τὰ πλεῖστα τῆς Σικελίας ὑπόφορα τοῖς Καρχηδονίοις ἐπὶ τῆς βασιλείας τοῦ Μιχαὴλ γεγόνασιν, ἀλλὰ μὴν καὶ ἄλλα τῶν ἐθνῶν

16 *περὶ τῶν ἐκ Καρχηδόνος Ἀγαρηνῶν* CE

1 *συγκροτηθείσης* D 4 *ὡς* AEwp, *ὅτι* O 5. 6 *ὁ βασ. τ. ἀρχὴν* Ewp 6 *στυπειώτῃ* BC, v. Cedr. (Scylitz.) II p. 217, 19 7 *πλείονα* B *κατωρθωκέναι* R (in C corr. ex *κατορθ.*) *Di*, *κατορθωκέναι* AB^{s}wp 8 *ὧν οὐδὲν ηὔχει* D, *οὐδὲν ὧν ηὔχει* RD$_{w}$wp *κατώρθωσεν* Rwp 12 *δὲ* R^{s}wp*Di* 13 *τὰ* Rwp*Di*, *τῇ* A 14 *τοιοῦτον* C *εἶχε* Rwp, *ἔσχε* A, v. Hultschium *Die erzähl. Zeitf.* cet. XXIV 5 ss. 13—15 *τὰ μὲν . . ἔσχε τὸν τρόπον, χειρόνως δὲ διέκειντο τὰ ἑσπέρια*] De chiasmo v. ad XIII 2, 6 17 *ὑπόφορα* ARw, *ὑπόφθορα* B, *ὑπόφοροι* p* 17. 18 *τῆς τοῦ μιχαὴλ βασιλείας* O 18. p. 425, 1 *πλείονα τ. ἐθνῶν* O

illum eduxit copias, commissaque pugna hostes in fugam versi
maxima ex parte cadunt, ipseque ameras iugulatur, paucis fuga
11 elapsis. Sed dux ex invidia delatus, quod, cum ipsam Tarsum
12 capere potuisset, noluisset, rex imperium illi ademptum Stvppio-
tae tradit et Tarsi excidium pollicenti et alia multa iuveniliter
13 iactanti; qui adeo nihil eorum, quae gloriabatur, effecit, ut etiam
tum ex negligentia, tum castris inconsiderate positis in cladem
14 incideret. Nam barbari eius castra, in quibus nullas agi excubias
cognorant, noctu aggressi multos caedunt, sed plures a sese ob-
15 triti perierunt, itaque superiores fuere Agareni. Eo rerum orien-
talium statu, occidens peius etiam se habebat.

16 Nam Italia, quae Romanis regibus parebat, et maxima Siciliae pars et multae gentes aliae sub rege Michaële tributariae

πλείονα. στόλον γὰρ ἐξαρτύσαντες οἱ ἐκ Καρχηδόνος Ἀγαρηνοὶ 17
πολλὰ μὲν εἷλον πολίσματα, τέλος δ' ἐπολιόρκουν καὶ τὸ Ῥαού-
σιον. στέλλουσιν οὖν οἱ Ῥαούσιοι πρεσβείαν πρὸς τὸν βασιλέα 18
Βασίλειον, ἐπικουρίαν παρ' αὐτοῦ ἐξαιτούμενοι· καὶ ὃς ἑκατὸν 19
αὐτοῖς πολεμιστηρίους νῆας ἐκπέπομφεν, ἃς ἐπιέναι σφίσι μα-
θόντες οἱ πολιορκοῦντες Ἀγαρηνοὶ λύσαντες τὴν πολιορκίαν τοῦ
Ῥαουσίου τῇ Λογγιβαρδίᾳ προσέβαλον· καὶ τὸ ἄστυ τῆς Βά- 20
ρεως εἷλον καὶ οὕτω κεχρημένοι ὁρμητηρίῳ πάσης τῆς Λογγι- P II 170 A
βαρδίας ἐκράτησαν. γνόντα δὲ καὶ τὰ λοιπὰ ἔθνη τὰ παρὰ 21
τῶν Ἀγαρηνῶν τούτων, ὡς εἴρηται, πιεζόμενα τὸ γεγονὸς κατὰ W III 137
τὸ Ῥαούσιον, καὶ ὅτι τὴν ἐκ βασιλέως συμμαχίαν δείσαντες οἱ
D IV 29 *πολέμιοι τῆς πολιορκίας ἀπέστησαν, πρεσβεύουσι καὶ αὐτοὶ συμ-*
μαχίαν αἰτοῦντες καὶ ἑαυτοὺς τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑπο-
τιθέμενοι. καὶ ὁ βασιλεὺς τὴν πρεσβείαν προσήκατο καὶ ἐπε- 22

14 *ὅτι ὁ ῥὴξ Φραγγίας* (*φρυγίας* E) *συνεμάχησε* (*συνεμαχέσατο* E) *τοῖς Ῥωμαίοις* (hic desinit E) *κατὰ τῶν Ἀγαρηνῶν. καὶ ἡττηθέντων ἑάλω καὶ ὁ ἀρχηγὸς αὐτῶν παρὰ τοῦ ῥηγός· καὶ ὅσα ἐμηχανήσατο καὶ διέδρα· καὶ ὅσα ἐποίησεν* CE

1 *ἐκ Καρχηδόνος*] *καρχηδόνιοι* D 2 *δὲ* D *τὸ ῥαούσιον* AR, *ταραούσιον* D, *το* (sic) *ῥαγούσιον* Dwwp, v. Cedr. (Scylitz.) II p. 219, 10, Const. Porphyrog. III p. 130, 6 cet. 3 *ῥαούσιοι* AR, *ῥαγούσιοι* Dwwp 5 *ἐπὶ* D, *ἐπιέναι* corr. Dw 6. 7 *τοῦ ῥαουσίου* om. C 7 *ῥαουσίου* AR, *ῥαγουσίου* Dwwp *προσέβαλλον* Ewp *βάσεως* D, corr. Dw 8 *οὕτω* A, *τούτῳ* Rwp*Di* *ὁρμητήρια* D, corr. Dw 9 *στάλέντα* (sic) *ἔθεντο* D, *τὰ λοιπὰ ἔθνη τὰ* corr. Dw 10 *τούτων* om. O, add. Dw *ἃ* (?) D, *εἴρηται* corr. Dw *γεγονὼς* D, corr. Dw 10. 11 *κατὰ τὸ ῥαούσιον* AR, *ἢ ταραουσίου* D, *κατὰ τὸ ῥαγούσιον* Dwwp 11 *δείσαν τισ* D, corr. Dw 11. 12 *οὐ πολέμιει* D, *οἱ πολέμιοι* corr. Dw 13 *αὐτῆς τοῦ ἐφ' ἑαυτοῦ* D, *αἰτοῦντες καὶ ἑαυτοὺς* corr. Dw *τῆς* D, *τῇ τῶν* corr. Dw *ἡγεμονίας* D, corr. Dw 14 *βασίλειος* D *Wo* lat., *βασι*^λ B *ἐπικούρησε* C

factae sunt Carthaginiensibus. Carthaginienses enim Agareni, 17
classe instructa multisque oppidulis captis, Rausium obsident.
Rausinis per legatos auxilia petentibus, Basilius centum naves 18. 19
bellicas subsidio mittit, quas contra se ire Agareni obsidentes
ubi cognoverunt, soluta Rausii obsidione Longobardiam invasere,
captaque Bari urbe itaque tuto receptu usi totam Longobar- 20
diam occuparunt. Ceterae quoque gentes, quae ab Agarenis 21
premebantur, cum audissent, quid Rausii accidisset et quomodo
hostes reformidatis regiis auxiliis ab obsidione destitissent, auxi-
lia et ipsae petunt se Romano imperio subicientes. Rex recepta 22

κούρησε τοῖς αἰτήσασι διά τε τοῦ προειρημένου στόλου καὶ διὰ
23 *τοῦ τῶν Φράγγων ῥηγός. ἐπέστειλε γὰρ ἐκείνῳ συλλαβέσθαι*
τοῦ κατὰ τῶν Ἀγαρηνῶν πολέμου τῷ τῶν Ῥωμαίων στρατεύ-
24 *ματι· ὑφ' ὧν ἡ τῶν Ἀγαρηνῶν κατεπολεμήθη στρατιὰ καὶ ὁ*
ἀρχηγὸς αὐτῶν ἑάλω σουλδάνος καλούμενος, ὃν ὁ ῥὴξ τῶν
B 25 *Φράγγων ἐν Καπύῃ ἀπήγαγεν. ὅπου δύο διατρίψας ἐνιαυτοὺς*
οὐκ ὤφθη παρά του μειδιάσας οὐδέποτε, ὥστε τὸν ῥῆγα θαυ-
μάζειν καὶ εἴ τις ἀπαγγείλῃ αὐτῷ γελῶντα τὸν βάρβαρον, δώ-
26 *σειν τι ἐπαγγέλλεσθαι τῆς ἀγγελίας μισθόν. εἶπεν οὖν τίς ποτε*
ἰδεῖν τὸν σουλδάνον γελάσαντα. καλέσας οὖν τὸν βάρβαρον ὁ
27 *ῥὴξ τὴν αἰτίαν τοῦ γέλωτος ἤρετο. ὁ δὲ τροχὸν εἶπεν ἁμάξης*
ὁρᾶν, οὗ τὸ μὲν πρόσγειον ἦν, τὸ δ' ἦρτο μετέωρον, εἶτα τὸ
μὲν μετέωρον κατῆκτο πρὸς γῆν, τὸ δὲ πρόσγειον μετεώριστο.
28 *"οὕτω δ' εἰκάσας καὶ τὰ ἀνθρώπινα πράγματα κινεῖσθαι καὶ*
μεταφέρεσθαι ἐξεγέλασα, λογισάμενος ὡς οὐκ ἀδύνατον οὕτω
διατεθῆναι καὶ τὰ κατ' ἐμαυτόν, καὶ ὥσπερ ἐξ ὕψους κατη-
νέχθην εἰς ταπεινότητα, οὕτως αὖθις ἴσως ἐκ χθαμαλότητος
C *εἰς ὕψος ἐπαρθῆναι καὶ γενέσθαι μετάρσιος."* *ταῦτα μὲν εἶπεν*
29 *ἐκεῖνος. ὁ δὲ ῥὴξ καὶ τὴν τῶν λόγων ἀλήθειαν εἰς νοῦν εἰλη-*

1 *τῆς* D, *τοῖς* corr. Dw 2 *συνεπιλαβέσθαι* Rwp 3 *τοῦ* D, *τῷ* corr. Dw 6 *ὅπη* E(wp*Di*) 8 *ἀπαγγείλῃ* E(*B-W*), *ἀπαγγείλει* A, *ἀπαγγείλειεν* Owp*Di*, v. ad XIV 10, 11 9 *τι* om. O 10 *οὖν* AEwp, *δὲ* O 11 *τροχοὺς* Rwp Cedr. (Scylitz.) II p. 221, 15 *ἁμ. εἶπεν* C 12 *ὧν* Rwp 14 *κεῖσθαι* E 16 *καὶ* ante *τὰ* om. C *τὰ* om. D, suppl. Dw 17 *ἴσως* om. D *Wo* lat. *θαμαλότητος* D 18 *ἀρθῆναι* D

legatione supplicibus et classe illa et per Francorum regem opem
23 tulit, a quo per litteras petierat, ut Romanis legionibus in bello
24 Agarenico adesset; ab iisque Agarenorum exercitu devicto eorum
princeps, quem suldanum vocant, captus et a rege Francorum
25 Capuam perductus est. Ubi cum biennium versatus esset, nun-
quam a quoquam risisse visus est, ut rex miratus diceret se ei,
26 qui barbarum risisse nuntiaret, praemium daturum esse. Quem
suldanum cum quidam semel risisse nuntiasset, arcessito bar-
27 baro risus causam rex quaesivit. At ille "Rotam currus" inquit
"vidi, ubi cum altera terrae incumberet, altera sursum tolleretur,
mox ea, quae sublimis fuerat, depressa, quae humilis, in altum
28 elata est. Unde coniectura capta res humanas eodem quoque
modo moveri et transferri, in risum erupi, posse fieri cogitans,
ut et mearum rerum status idem esset ac me, quemadmodum e
sublimi sum humum depressus, sic iterum ex humili loco in
29 altum forte elatum sublimem fore." Rex et veritate orationis
considerata et suldani fortunae commutationem miseratus eum

φὼς καὶ τὸν σουλδάνον τῆς μεταβολῆς κατοικτείρας ᾠκειώσατό
τε αὐτὸν καὶ παρρησίας μετέδωκε, καὶ συνετὸν τὸν ἄνδρα οἰ-
όμενος ἐκοινώνει καὶ βουλευμάτων αὐτῷ. ὁ δὲ περίεργος ὢν
δόλῳ τὸν ῥῆγα μετέρχεται. ὁ μὲν γὰρ ῥὴξ τήν τε Καπύην 30
καὶ τὸν Βενεβενδὸν τὰς πόλεις νέον κτησάμενος, ἐδεδοίκει περὶ
D IV 30 αὐταῖς μήποτε τῆς ἐλευθερίας ἀντιποιήσωνται. ὁ δὲ βάρβαρος 31
ἐκεῖνος τοῦτ' ἐγνωκὼς πρόσεισι τῷ ῥηγὶ καί φησιν "εἰ βούλει
σοι τὴν τῶν πόλεων τούτων ἀρχὴν βεβαίαν προσεῖναι, τοὺς
λογιμωτέρους τῶν ἐν αὐταῖς μετάγαγε ἀλλαχοῦ, καὶ οὐκέτι τὸ D
πλῆθος καθ' ἑαυτὸ γεγονὸς οὐδὲν φρονήσει νεώτερον." συν- 32
οίσουσαν οὖν τὴν συμβουλὴν ὁ ῥὴξ οἰηθεὶς ἔθετο τῷ σκοπῷ,
καὶ ἀσυμφανῶς δεσμὰ ἐχαλκεύοντο. εἶτα καὶ τοῖς ἐξόχοις τῶν 33
ἐν ταῖς πόλεσιν ὡμίλει ὁ πονηρὸς ἐκεῖνος ἀνὴρ καὶ ὥσπερ φι-
λικώτερον προσεφέρετο καὶ ἐν ἀπορρήτοις λέγει αὐτοῖς ὡς "ὁ
ῥὴξ βούλεται τοὺς ἀξιολογωτέρους τῶν πολιτῶν ὑπὸ δεσμοῖς
ποιησάμενος εἰς τὴν ἑαυτοῦ χώραν μεταγαγεῖν, καὶ πίστεις", 34

6 σημείωσαι E

2 τὸν om. D 3 πανοῦργος Dw 4 ἐξ ὅλης D, ὁ μὲν corr. Dw καπόην E (v. XVI 9, 37), κατεπύην D, corr. Dw 5 τὸν A, τὴν RwpDi βύρβηδον D, corr. Dw νέον om. E 6 αὐταῖς AEDw, αὐτῶν Owp ἀντιποιήσωνται ARDw, ἀντιποιήσονται DEwp 7 τοῦτε D, corr. Dw ἐγνωκείαν D, corr. Dw 7. 8 βούλεισον D, βούλει σοι corr. Dw 9 ἐλλογιμωτέρους B αὐτοῖς D, corr. Dw μέταγε EDwwp, ἐπήγαγε D 10 ἑαυτὸν D, corr. Dw φρονανενέτερον (punctis notatum) D, corr. Dw συνοίσεισαν D, corr. Dw 11 βουλὴν D, corr. Dw βερξήνθιον D, ὁ ῥὴξ οἰηθεὶς corr. Dw 12 δέσμα D ἐχαλκεύετο Dw 12. 13 τῆς ἐξόχης προ καλὴν (?) D, τοῖς ἐξόχοις τῶν ἐν corr. Dw 13 καὶ ὥσπερ φιλικώτερον in lac. XI fere litter. add. Dw 14 ἀπορρωτάτ . . . D, ἀπορρήτοις λέγει corr. et suppl. Dw 14. 15 θεολογοτέρους D, quo deleto add.: ὡς ὁ ῥὴξ βούλεται τοὺς ἀξιολογωτέρους Dw 15 δεσμοῦ D, corr. Dw 16 καὶ D, εἰς corr. Dw πίστις DEwp

liberius habitum in familiaritatem suam ascivit et eius, ut viri prudentis, consiliis utebatur. Is vero, homo callidus, regem circumvenit. Nam barbarus ille, cum regem Capua et Benevento 30
modo potitum vereri cognovisset, ne eae urbes de vindicanda 31
libertate cogitarent, "Si" inquit "imperium istarum urbium firmum habere studebis, cives clariores alio transferto. Neque enim vulgus per se novarum rerum erit cupidum." Id consilium 32
rex utile fore ratus, sententia barbari probata vincula ferrea clam fabricabatur. At improbus ille vir cum utriusque civitatis 33
principibus colloquens atque in eorum familiaritatem sese insinuans secreto dicit regem velle primarios cives vinctos in suam

ἔφη, "τῶν λόγων τὸ τὰς σιδηρέας ἁλύσεις χαλκεύειν καὶ χειρο-
35 πέδας καὶ ἄλλα δεσμά." τοῦτο τοίνυν ἐκεῖνοι ἀληθὲς εὑρη-
κότες, εὐνοεῖν αὐτοῖς αὐτὸν ὑπειλήφασι, καὶ ἐξελθόντι πρὸς
P II 171 A κυνηγέσιον τῷ ῥηγὶ τὰς πύλας τῶν πόλεων ἐπεζύγωσαν καὶ
36 οὐκέτι τοῦτον ἐντὸς εἰσεδέξαντο. καὶ ὁ μὲν ἀπῆλθε πρὸς ἑαυτόν,
ὁ δὲ σουλδάνος παρὰ τῶν πολιτῶν ἐκείνων ἀντιμισθίαν εὕρατο
37 τὴν ἐλευθερίαν. ἀπελθὼν οὖν καὶ τὴν πρότερον ἀρχὴν αὖθις
κατακτησάμενος, ἐκστρατεύει κατὰ τῶν εἰρημένων πόλεων τῆς
38 τε Καπύης καὶ τῆς Βενεβενδοῦ. οἱ δὲ τῇ πολιορκίᾳ πιεζόμενοι
στέλλουσι πρὸς τὸν ῥῆγα, συγγνωμονῆσαι σφίσι καὶ συμμαχῆσαι
39 θερμῶς ἐξαιτούμενοι. ὡς δ' ἐκεῖνος τὴν πρεσβείαν οὐ προσή-
κατο, ἐπιχαίρειν εἰπὼν τῇ ἀπωλείᾳ αὐτῶν, πρὸς τὸν βασιλέα
Βασίλειον ἑτέραν πρεσβείαν ἐστάλκασι, παρακαλοῦντες ἐπαρῆξαι
B 40 αὐτοῖς κινδυνεύουσι. καὶ ὃς ὑπέσχετο, καὶ ὁ πρεσβευτὴς ἐπαν-
41 ῄει, θαρρεῖν παρεγγυήσων τοῖς συμπολίταις αὐτοῦ. ἑάλω δ'
W III 138 ὑπὸ τῶν πολεμίων, καὶ μαθὼν ὁ σουλδάνος ὅπῃ τε ἦν καὶ D IV 31
42 οἷα κομίζει τοῖς ἀστοῖς εὐαγγέλια, φησὶ πρὸς αὐτόν "εἰ ζῆν
ἐθέλεις, ἀπαγορεῦσαι τὸν βασιλέα τὴν συμμαχίαν τοῖς πέμψασί
σε ἀπάγγειλον ἐκ τοῦ τείχους προκύπτουσιν· εἰ γὰρ μὴ οὕτω

1 τοὺς .... ἁλύσεις D, τὸ τὰς σιδηρέας ἁλ. corr. et suppl. Dw   τὰς ex τοὺς corr. B, τοὺς C, v. ann. anteced.   χειροπαιδίας D, corr. Dw   3 εὐνοιεῖν w*p invitis AR   αὐτὸν αὐτοῖς BD   5 καὶ ὁ μὲν AEwp, ὁ μὲν οὖν O   ἑαυτὸν RwpDi, αὐτὸν A   7 ἀπελθὼν οὖν AEwp, ἀπ. δὲ R, καὶ ἀπ. D   προτέραν RwpDi   αὖθις om. D, αὐτοῦ BC   8 κατακτησάμενος RwpDi, καταστησάμενος A   9 καπόης E, v. XVI 9, 30   10 συμαχῆσαι D, corr. Dw   11 οὐ προς. τ. πρεσβ. O   14 καὶ ὃς] κἀκεῖνος O   16 ὅποι D   18 πέμψασιν Ewp, v. ad XIII 1, 5   19 σε AR, τε w*p   οὕτως B

34 transferre regionem. Quod vere a se dici, illud argumento esse,
35 quod ferreas catenas, manicas, alia vincula fabricaretur. Id illi
cum verum invenissent, hominem sibi benevolum esse rati regi
36 venatum egresso portas clauserunt. Is igitur non admissus
domum rediit, suldanus autem, a civibus libertate remunerationis
37 ergo accepta pristinoque imperio recuperato, iisdem Capuanis et
38 Beneventanis bellum infert. Qui cum obsidione urgerentur, per
legatos regem supplicibus verbis orant, ut sibi et veniam daret
39 et auxilio veniret. Sed ut ille, repudiata legatione, se interitu
illorum laetari dixit, ad regem Basilium alia legatione missa,
40 ut sibi periclitantibus subveniret, cum legatus impetratis auxiliis
41 rediret cives suos bonis animis esse iussurus, captus est ab
hostibus; ex quo cum suldanus cognovisset, unde veniret et
42 quam laetum civibus afferret nuntium, ait ille: "Si vivere volueris, tuis de muro prospectantibus renuntiato regem auxilia ne-

ποιήσεις, ἴσθι αὐτίκα δὴ τεθνηξόμενος. ὁ δὲ συνέθετο ποιή- 43
σειν ὡς ἐνετέλλετο· καὶ στὰς πρὸ τοῦ τείχους δέσμιος κατεχό-
μενος ἔφη καὶ τὴν πρεσβείαν ἀνύσαι καὶ ἥξειν ὅσον ἤδη ἐκ
βασιλέως βοήθειαν· καὶ ὁ μὲν ταῦτα λέγων τοῖς ξίφεσι κατε-
τέτμητο. ὁ δὲ σουλδάνος τὴν τῆς πόλεως ἀπελπίσας ἅλωσιν 44
ὑπεχώρησε.

Καὶ ὁ τῆς Ταρσοῦ δὲ ἀμηρᾶς Ἐσμὰν μετὰ πλοίων μεγά- 45
λων, ἃ κουμπάρια τοῖς ἐκ τῆς Ἄγαρ ὠνόμασται, τῇ πόλει τοῦ C
Εὐρίπου προσέβαλεν· ἤνυσε δὲ οὐδέν, ἀλλ' αὐτός τε ἀπώλετο
καιρίως πληγεὶς καὶ τὸ πλέον τῆς στρατιᾶς αὐτοῦ. ἀλλὰ μέντοι 46
καὶ ὁ τῆς Κρήτης κρατῶν Σαὴτ ὁ Ἀπόχαψ ἕτερον στόλον ἑτοι-
μασάμενος Φώτιόν τινα δραστήριον ἄνδρα τούτῳ ἐπέστησεν,
ὃς τά τε παράλια τοῦ Αἰγαίου καὶ τὰς νήσους ἐκάκου. ᾧ συν- 47
αντήσας ὁ τῶν Ῥωμαίων στόλος, οὗ ναύαρχος ἦν ὁ τῶν πλωΐ-
μων δρουγγάριος ὁ πατρίκιος Νικήτας ὁ Ὠορύφας, πολλὰς μὲν
τῶν πολεμίων νηῶν τῷ ὑγρῷ πυρὶ ἀπετέφρωσε καὶ τοὺς ταύ-

7 *ὅτι ἐκ Ταρσοῦ πλοῖα ἐπολιόρκουν τὴν Εὔριπον· ἤνυσαν δὲ οὐδέν* CE 10 *καὶ ἐκ Κρήτης ἕτερα τὰς παραλίας* (*παραλίους* E) *Ῥωμαϊκὰς ἐδῄουν χώρας· ἀλλὰ κἀκεῖνα κακῶς ἀπηλλάγησαν* (*ἀπήλλαξαν* E) CE

1 *δὴ* RwpDi, *δεῖν* A 4 post *βασ.* add. *εἰς* C 5 *ἀπελπίσας τὴν τῶν πόλεων* Rwp 6 *ὑπεχώρησεν* E (v. ad XIII 1, 5), *ἀνεχώρησε* D 7 *ἀσμὰν* D, corr. Dw 8 *τῇ* om. D, suppl. Dw 9 *προσέβαλον* D, corr. Dw *δὲ* om. D, *δ'* suppl. Dw 10 *καὶ* . . . . . D, *καιρίως* corr. Dw *πλέοντος* D, *τὸ πλέον τῆς* corr. Dw *ἀλλὰ μέντοι* AEDwwp, om. O 11 post *κρήτης* add. *δὲ* O *κρατησάντων* D, corr. Dw *ἀποχὰψ* Rw, *Απόκαψ* p* 12 *δικαστήριον* D, corr. Dw 13 *νήσας* (punctis notatum) *ἀ κάκου* D, corr. Dw 14 *οὖσαν ἄρχος* D, *οὗ ναύαρχος* corr. Dw 15 *δουγγάριος* (sic) A *ὠορύφας* AB Cedr. (Scylitz.) II p. 227, 9, *ὠρύτὰς* (sic) D, *ὠρύφας* RDw, *δωρύφας* w*p, v. XV 24, 21 16 *νεῶν* EwpDi, v. ad XV 23, 15

gasse; quod ni feceris, te e vestigio moriturum scito." Promisit 43
ille se facturum, quemadmodum iuberetur; et vinctus astans ante
moenia, dum se legationem obiisse et auxilia a rege statim ventura dicit, gladiis dissecatur. Suldanus vero urbis expugnatione 44
desperata recessit.

Tarsi quoque ameras Esman cum magnis navigiis, quae 45
Agareni cumparia vocant, Euripi urbem aggressus nihil quidem
effecit, sed et ipse letali accepto vulnere periit et maxima pars
exercitus illius. Cretae autem princeps Saët Apochaps Photium, 46
virum strenuum, alteri classi a se instructae praefecit, qui et
Aegaei maris oram et insulas populabatur. Cui cum Romana 47
classis, cuius navarchus erat classis drungarius patricius Nicetas

ταις ἐμπλέοντας, πολλοὺς δὲ μαχαίρας ἔθετο ἔργον καὶ πλείους
48 ὑποβρυχίους ἐποίησεν. ὅσοι δὲ τὸν πολυειδῆ τοῦτον ἔφυγον
49 κίνδυνον, αἰσχρῶς ἀποδράντες ἐσώθησαν. οὐκ ἠγάπων μέντοι
D σωζόμενοι· πειρατικὰς δὲ νῆας ἑτοιμασάμενοι τὴν Πελοπόννη-
50 σον καὶ τὰς ἐκεῖ κατέτρεχον νήσους. ἀλλ' αὖθις αὐτοῖς ὁ ῥη-
θεὶς τοῦ στόλου δρουγγάριος ἔπεισι· τῷ γὰρ λιμένι προσορμίσας
τῶν Κεγχρεῶν καὶ τὰ πολέμια πλοῖα περὶ Μεθώνην καὶ Πύ- D IV 32
λον καὶ Πάτρας ἐμφιλοχωρεῖν ἐγνωκώς, διὰ τοῦ κατὰ Κόριν-
θον ἰσθμοῦ ταχέως διαγαγὼν τὰς τριήρεις ἐν τῇ ξηρᾷ ἐπιτί-
51 θεται τοῖς πολεμίοις ἀνωιστί· καὶ τῷ ἀνελπίστῳ ἐκπεπληγμένων
αὐτῶν τὰς μὲν τῶν ληστρικῶν νηῶν ἐπυρπόλησε, τὰς δὲ καὶ
αὐτάνδρους κατέδυσε, καὶ αὐτοῦ τῶν πολεμίων ἐξηγουμένου
Φωτίου ἀναιρεθέντος. οὕτω μὲν οὖν καὶ ὁ τῶν Κρητῶν ἀπώ-
λετο στόλος.

P II 172 A 10 Ἐξ Ἀφρικῆς δ' ἕτεραι νῆες αὖθις ἑξήκοντα παμμεγέθεις
ἐξώρμησαν καὶ τῇ ὑπὸ Ῥωμαίους καὶ αὗται ἐλυμαίνοντο καὶ
2 μέχρι Κεφαληνίας καὶ Ζακύνθου προῆλθοσαν. στέλλεται τοίνυν

15 περὶ τῶν ἐξ Ἀφρικῆς νηῶν· καὶ περὶ τῶν ἐκ τοῦ Ῥωμαϊκοῦ στόλου ἀποδράντων· καὶ ὅπως οὐδένα ἐκείνων ἀνελὼν τοῖς λοιποῖς ἐνεποίησε φόβον C

2 αὐποβρυχίους D, corr. Dw 4 ἑτοιμασάμενος D, corr. Dw πελοπόννησον RDi, πελοπόνησον ADEwp 6 προσεγγίσας D 7 κεγχρεῶν ARDw, χρεῶν D, κεγχρῶν E, κεγχρέων w*p 8 πάτραν B 10 ἀνοιστὶ D, corr. Dw 12 post αὐτοῦ add. τοῦ Owp ἐξηγομένου D, corr. Dw 13 καὶ ὁ AR, ὁ omisso καὶ BD, ὁ καὶ w*p 15 δὲ D αὖθις ἕτ. νῆες Ewp 16 αὗται EwpDi 17 κεφαληνίας ARwp, Κεφαλληνίας Di; v. ad p. 236, 9 ζακίνθου D, corr. Dw

Oorыphas, occurrisset, multas hostium navium una cum vectoribus
igni Graeco in cineres redegit, multas ferro confecit, plures
48 demersit. Quicunque multiplex hoc discrimen turpi fuga evase-
49 rant, incolumitate non contenti, piraticis navibus paratis, Pelo-
50 ponnesum et vicinas insulas vexaverunt. Sed eos idem drun-
garius, cum ad portum Cenchrearum appulisset ac naves hostium
prope Methonam et Pylum et Patras crebro stationes habere
didicisset, triremibus per Isthmum Corinthiacum celeriter terra
51 traductis hostes subito aggreditur; iisque improvisa impressione
perculsis piraticas naves partim cremat, partim cum ipsis viris
demergit, Photio quoque, hostium duce, interfecto. Sic Creten-
sium quoque classis periit.

10. Verum ex Africa quoque aliae naves sexaginta ingen-
tes Romanis provinciis vastandis usque ad Cephaleniam et Zacyn-
2 thum processerunt. Contra eas Narsan, classis praefectus, missus

ναυτικὸν κατ' αὐτῶν, ναυαρχοῦντα τὸν Νάσαρ ἔχον. πολλῶν 3
*δ' ἐκ τῶν περὶ τὴν εἰρεσίαν πονούντων ἀποδρασάντων, αἱ τριή-
ρεις ἦσαν ἡμίκενοι· διὸ καὶ ὁ ναύαρχος οὐκ ἔκρινε δεῖν οὕτω
συμμίξαι τοῖς πολεμίοις, ἀλλ' ἀναφέρει τῷ βασιλεῖ τὸ συμβάν,
καὶ οἱ λειποτάκται ζητηθέντες ταχὺ κατεσχέθησαν. ἵνα δὲ καὶ* 4
*φόβον ἐμποιήσῃ τῷ ναυτικῷ καὶ μηδένα κολάσῃ χριστιανόν,
τριάκοντα τῶν ἐν εἱρκταῖς φρουρουμένων Ἀγαρηνῶν ἐκβλη-
θῆναι κελεύει νυκτός, καὶ περιχρῖσαι μὲν ἀσβόλῃ τὰς ὄψεις* B
*αὐτῶν, ὡς ἂν μὴ ἐπιγινώσκοιντο, εἶτα καὶ αἰκίσασθαι σφᾶς
καὶ διὰ τῆς ἀγορᾶς περιαγαγεῖν ἀνασκολοπισθῆναί τε ἀπα-
χθέντας εἰς Πελοπόννησον. οὗ γενομένου οἱ τοῦ στόλου ναυ-* 5
*τικοὶ ἐξεδειματώθησαν καὶ οὕτω τοῖς ἐναντίοις ἐπῆλθον νυκτὸς
καὶ τρόπαιον ἤραντο, τῶν μὲν ἀπολομένων, τῶν δὲ ἑαλωκότων.
εἶτα καὶ εἰς Σικελίαν διέβησαν καὶ τὰς ἐκεῖ πόλεις, ὅσαι τοῖς* 6
Καρχηδονίοις διέφερον, ἐκάκωσάν τε καὶ ἐξεπόρθησαν.

Καὶ οἱ ἐκ μεσημβρίας δὲ Ἄραβες ἐσχολακέναι τὸν Ῥω- 7
D IV 33 *μαϊκὸν μαθόντες στόλον, τὰ τῆς Φοινίκης καὶ τῆς Συρίας ναυσὶ*

11 *ὅτι ἐνίκησαν οἱ Ῥωμαῖοι τοὺς Ἀγαρηνοὺς ἐν τῇ ναυμαχίᾳ* (*ἐν—ναυμ.* om. E) CE 16 *ὅτι τῶν τοῦ στόλου εἰς οἰκοδομὰς ἀσχολουμένων, οἱ Ἀγαρηνοὶ ἀδεῶς τὰ παράλια ἐκάκουν* C

1 *νάσαρ* AR Cedr. (Scylitz.) II p. 229, 9, *ἄσαρ* B, *νάρσαν* ED$_w$wp 4 *συμμῖξαι* Ewp 5 *λειποτάκται* AR (C *ει* in ras.) wp, *λιποτάκται* *Di*, v. ad XV 18, 11 7 ante *ἀγαρ.* add. *αἰχμαλώτων* Owp 8 *περιχρίσαι* ARwp, corr. *Di* *μὲν* om. D 9 *καὶ* om. Ewp 11 *πελοπόννησον* R*Di*, *πελοπόνησον* ABDwp 12 *οὕτως* D, corr. D$_w$ *ὑπεναντίοις* D 14 *διέβισαν* D, corr. D$_w$ *ὅσα* D, corr. D$_w$ 15 *καρχηδόνιος* D, corr. D$_w$ *διέφθειρον* D, corr. D$_w$ 14. 15 *τοῖς Κ. διέφερον*] v. C. B. Hasium ad Leon. Diac. p. 494 ss. et Zonar. XVII 7, 37. 23, 10. XVIII 22, 19

est. Sed cum tot ex remigibus fugam cepissent, ut triremes 3
semivacuae essent, navarchus ita cum hostibus non congrediendum
esse ratus casum illum ad regem refert et desertores inquisiti
ac cito reperti sunt. Ut autem terrorem incuteret nautis nec 4
ullum tamen Christianum supplicio afficeret, triginta captivos
Agarenos carcere noctu extractos fuligine inungi, ne agnoscerentur, flagrisque caesos per forum circumduci et in Peloponnesum perductos palis affigi iussit. Quo facto classiarii perterriti 5
hostes noctu aggressi profligarunt, aliis caesis, aliis captis. Deinde 6
in Siciliam quoque transvecti urbes Carthaginiensibus obnoxias
vexarunt et vastarunt.

Ceterum a meridie Arabes, cognito Romanae classis otio, 7

8 προσπλέοντες ἐκάκουν παράλια. ὁ γὰρ βασιλεύς, ὅτι Μιχαὴλ
C ἀνεῖλε τὸν πρὸ αὐτοῦ βασιλεύοντα, οἷον ἐξιλασκόμενος τὸν θεόν,
πολλαχοῦ τῆς βασιλίδος τῶν πόλεων τῷ ἀρχιστρατήγῳ Μιχαὴλ
9 ναοὺς ἐδείματο ἐκ καινῆς· καὶ ἐν αὐτοῖς δὲ τοῖς ἀνακτόροις
ἐδομήσατο τούτῳ πολυτελές τε καὶ πολυδάπανον τέμενος, ὃ καὶ
W III 139 10 Νέαν ἐκκλησίαν ἐκάλεσεν. ἐν τούτοις οὖν τοῖς δομήμασι τῶν
πλωίμων ἀσχολουμένων, καὶ τῶν νώτων αὐτῶν οὐκ ἀφισταμένων ἀπὸ τῶν ἄρσεων, τῶν τε χειρῶν αὐτῶν ἐν τοῖς κοφί-
11 νοις δουλευουσῶν, ὁ στόλος ἐσχόλασε· διὸ καὶ οἱ Ἀγαρηνοὶ
ἀδεῶς, ὡς εἴρηται, τὰ παράλια ἐληίζοντο καὶ οὐ μόνα ταῦτα
12 ἐκάκουν, ἀλλὰ καὶ τὴν Συράκουσαν ἐξεπόρθησαν. ὁ δὲ βα-
D σιλεὺς ταῖς οἰκοδομαῖς τὸ ναυτικὸν τοῦ στόλου κατέτρυχε, καὶ
τῷ προφήτῃ Ἠλιοὺ τῷ Θεσβίτῃ ναὸν ἀνεγείρας· ἐτίμα γὰρ
τοῦτον διαφερόντως καὶ ᾤετο προσληφθήσεσθαί ποτε παρ' αὐ-
13 τοῦ καὶ τῷ πυρίνῳ συνεπαρθήσεσθαι ἅρματι. ὅμως μέντοι
τὴν ἅλωσιν καὶ κατασκαφὴν τῆς Συρακούσης μαθὼν ἔστειλε
τοὺς ἀντικαταστησομένους τοῖς ἀλιτηρίοις Ἀγαρηνοῖς· ἀλλ' οὐδὲν
14 ἤνυστο. εἶτα τὸν Φωκᾶν Νικηφόρον μετὰ δυνάμεως ἀξιομάχου

1 *βασίλειος* O *Wo* lat. post *ὅτι* add. *τὸν* B 2 *ἐκιλοσκόμενος* D, corr. Dw 5 *ἐδομήσατε* D, corr. Dw 6 *ἐκκλησίαν* Rwp*Di*, *ἐκκλήσεως* A 6. 7 *δομήμασιν* (*δομήσασιν* p*) *ἀσχ. τ. πλωίμων* Ewp 8 *αὐτῶν τοῖς κοινοῖς* D, corr. Dw 9 *καὶ* om. Rwp 10 *ἐλνίζοντο* D, corr. Dw 12 *τὸ ναυτικὸν τοῦ στόλου* | *κατέτρ. τ. οἰκοδομαῖς* Ewp 13 *πρεσβύτῃ* B *ἡλιοῦ* CEwp*Di* *θεσβίτ** C *ἀνεγείρων* O, corr. Dw 15 *ὅμως*] *ὁ μὲν* E 17 *ἀντικαθιστησομένους* E *ἀλιτηρίοις* RDwW*Di*, *ἀλητηρίοις* Dp, *ἁλιτηρίοις* AE 18 post *νικηφ.* add. *τὸν πάππον τοῦ μετέπειτα βασιλεύσαντος* (*βασιλεύοντος* w*p) Rwp

8 navibus advecti Phoeniciae et Syriae oram infestarunt. Rex
enim caedem Michaëlis decessoris sui expiaturus multis locis
urbis regiae Michaëli, caelestis militiae principi, nova templa
9 atque in ipsa regia magnificam et sumptuosam aedem, Novae
10 ecclesiae nomine indito, construxit. His substructionibus igitur occupatis nautis, quorum nec terga a tollendis oneribus unquam vacabant et manus in cophinis occupatae erant, classis otiosa
11 erat. Qua de causa Agareni, ut supra diximus, oram maritimam
impune praedabantur neque vero illam tantum infestarunt, sed
12 etiam Syracusas devastarunt. Rege vero nautas aedificatione
defatigante, cum etiam Eliae Thesbitae, quem eximia veneratione
colebat, aedem exstrueret, fore sperans, ut ab eo curru igneo in
13 caelum tolleretur, tamen, cum Syracusas captas esse et deletas
cognovisset, misit, qui nefariis Agarenis resisterent; neque vero
14 quicquam profecit. Deinde Nicephorum Phocam cum iustis co-

ἐκπέπομφεν, ἄνδρα γενναιότατον ὁμοῦ καὶ στρατηγικώτατον, ὃς
καὶ πολλὰ κατὰ τῶν Ἄγαρ ἐκγόνων ἐστήσατο τρόπαια.
Ὅτε δὲ τῷ Θεοφιλίτζῃ, ὡς εἴρηται, ἐξυπηρέτει οὗτος ὁ 15
βασιλεύς, συγκατῆλθεν ἐκείνῳ εἰς Πελοπόννησον καὶ εἰς τὸν
τοῦ ἁγίου ἀποστόλου Ἀνδρονίκου ναὸν εἰσῆλθε σὺν τῷ κυρίῳ
αὐτοῦ. ἦν δ' ἐκεῖσε προσμένων μοναχός τις ἀντιποιούμενος 16 P II 173 A
ἀρετῆς, ὃς τοῦ μὲν Θεοφιλίτζη οὐδεμίαν φροντίδα πεποίητο,
D IV 34 τὸν δὲ Βασίλειον θεασάμενος καὶ ἐξυπανέστη καὶ προσεκύνησε
καὶ φιλοφρόνως ἐδεξιώσατο. γυνὴ δέ τις χήρα ἐν τῇ χώρᾳ 17
ἐκείνῃ τυγχάνουσα καὶ τῶν ἐγχωρίων πρωτεύουσα πλούτῳ τε
περιρρεομένη πολλῷ, συνήθης οὖσα τῷ μοναχῷ καὶ μαθοῦσα
τὸ γεγονός, μετεπέμψατο τοῦτον καὶ ἤρετο πῶς τὸν μὲν Θεο-
φιλίτζην ἄρχοντα περιφανῆ καὶ τοῖς βασιλεῦσι κατὰ γένος προσ-
ήκοντα οὔτε προσρήσεως οὔτε δεξιώσεώς τινος κατηξίωσε, τῷ
δ' ἐκείνῳ ὑπηρετοῦντι καὶ προσεφώνησε καὶ τιμῆς μετέδωκεν
οὐκ ἀναλογούσης τῇ καταστάσει αὐτοῦ, ἀλλὰ καὶ λίαν ὑπερ- B
βαλλούσης αὐτήν. εἴκαζε γάρ, εἰδυῖα τὸν μοναχόν, μὴ ἀλόγως 18

3 περὶ τῆς γυναικός, ᾗ προεῖπεν ὁ ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀνδρέου μοναχὸς περὶ τοῦ Βασιλείου ὡς βασιλεύσει (τοῦ ἁγίου — βασιλεύσει om. E) CE

1 ante ὁμοῦ add. τε Ewp   στρατηγικώτατον AR, στρατηγιώτατον w*, στρατηγώτατον p*   2 ἄγαρ ἐκγόνων A, τῆς ἄγαρ ἐκγόνων EDwwp*Di*, ἀγαρηνῶν O   3 προείρηται CEwp, προιστόρηται R, v. XVI 6, 18 ss.   3. 4 οὗτος ὁ βασιλεὺς AEwp, ὁ βασιλεὺς βασίλειος R *Wo* lat., ὁ βασίλειος B   4 πελοπόνησον (sic) ADwp   5 ἀνδρέου Rwp   ναὸν aute ἀνδρέου C   6 προμένων D, corr. Dw   7 θεοφιλίτζου w*p invitis AR   8 ὑπεξανέστη CDEwp Cedr. (Scylitz.) II p. 191, 11   13 βασιλεῦσιν Ewp, v. ad XIII 1, 5   17 αὐτῇ D, αὐτῇ Dw

piis ablegavit, virum fortissimum ac rei militaris peritissimum,
qui Agarenos saepe profligavit.
Cum autem hic rex Theophilitzi, ut supra dictum est, 15
inserviret, una cum illo in Peloponnesum descendit et templum
Andronici, sancti apostoli, est ingressus, in quo degebat mona- 16
chus quidam virtutis studiosus, qui Theophilitzi nullam rationem
habuit, sed Basilio conspecto honoris causa surrexit eumque
adoratum amanter excepit. Mulier autem quaedam vidua illius 17
loci primaria et magnis opibus affluens eo cognito monachum
pro familiaritate arcessitum interrogat, cur Theophilitzem, prin-
cipem illustrem et regibus cognatum, neque alloquio neque ullo
officio dignum iudicasset, ministrum vero eius affatus esset et
longe supra conditionem honorasset. Nam, cum monachum 18

19 ποιῆσαι τὸ γεγονός. ὁ δέ "τὸν μὲν Θεοφιλίτζην ἰδιώτην" εἶπεν
"ἑώρων, βασιλέα δὲ τὸν Βασίλειον, καὶ διὰ τοῦτο καὶ ὡς βα-
σιλέα τὸν ἄνδρα τετίμηκα. ἴσθι γὰρ ὡς πρὸς τοῦ θεοῦ βασι-
20 λεὺς ἐκεῖνος ἀφώρισται." ταῦτα ἀκούσασα ἡ γυνή, ἐπεὶ νοσήσας
ἐκεῖ κατελείφθη ὁ Βασίλειος, ἀπάραντος ἐκεῖθεν τοῦ κυρίου
αὐτοῦ, προσελάβετό τε αὐτὸν εἰς τὸν οἶκον αὐτῆς καὶ θερα-
πείας ἠξίωσε καὶ ἀναρρωσθέντα εἰσποιητὸν ἀδελφὸν τῷ υἱῷ
21 αὐτῆς γενέσθαι πέπεικε καὶ χρήματα παρέσχεν· εἶτα καὶ τὴν
βασιλείαν αὐτῷ προαγορεύει, καὶ ὅτε τεύξεται τῆς ἀρχῆς, μὴ
ἐπιλαθέσθαι τοῦ παιδὸς αὐτῆς ἀξιοῖ μήτ' αὐτῆς, εἰ τοῖς ζῶσιν
ἔτι συγκαταλέγοιτο. ὁ μὲν οὖν Βασίλειος ἐπὶ τούτοις ἀπῆλθεν.
C 22 ἐκείνη δὲ βασιλεύσαντος ἄρτι πρὸς τὴν βασιλίδα τῶν πόλεων
μετὰ τοῦ υἱοῦ παρεγένετο, δῶρα προσαγαγοῦσα πολυτελῆ καὶ
23 πολλά· ἣν ἐντίμως ὁ βασιλεὺς προσεδέξατο καὶ τὸν υἱὸν αὐτῆς,
ὃν ἀδελφὸν ἐκ πνευματικῆς διαθέσεως, ὡς εἴρηται, ἔσχηκε,
πρωτοσπαθάριον τετίμηκε.
24 Σεισμῶν δὲ διαφόρων συμβάντων, ἐξ ὧν πολλοὶ ναοὶ διερ-
25 ράγησαν, ὁ βασιλεὺς αὖθις αὐτοὺς ἀνωρθώσατο· οὐ μὴν ἀλλὰ D IV 35

12 ὅτι βασιλεύσαντος τοῦ Βασιλείου προσῆλθεν αὐτῷ (om. E) ἡ γυνὴ μετὰ τοῦ υἱοῦ αὐτῆς, καὶ ἐτιμήθησαν (μετὰ—ἐτιμήθησαν om. E) CE 17 οἷα ἐν ναοῖς οὗτος ἐποίησεν ὁ βασιλεύς E

1. 2 Θεοφιλίτζην ἰδιώτην—βασιλέα δὲ τὸν Βασίλειον] De chiasmo v. ad XIII 2, 6 4 ἀφώριστο D, corr. Dw τῶν ἐπιροσήσας D, ἡ γυνὴ ἐπεὶ νοσήσας Dw 5 κατελείφθη RwpDi, κατελήφθη A βασι (λ) B 6 προςέλαβε Ewp 7. 8 τῷ υἱῷ αὐτῆς (αὐτοῦ D, corr. Dw) post πέπεικε O 8 παρέσχειν D, corr. Dw 9 προηγόρευσε Owp 12 post ἄρτι add. τοῦ βασιλείου CD, αὐτοῦ B 15 ὃ D, ὃν corr. Dw 17 ναοὶ πολλοὶ O 18 ἀνορθώσατο Ewp

19 nosset, eum id non temere fecisse arbitrabatur. At ille "Theophilitzem" inquit "privatum vidi, regem vero Basilium, eaque de causa honorem ei ut regi habui. Scito enim eum a deo regem
20 designatum esse." Quibus mulier auditis Basilium post discessum sui domini aegrotum illic relictum in suas aedes recepit curataque et confirmata valetudine ei persuasit, ut sui filii frater ado-
21 ptivus esse vellet, ac data pecunia regnum ei praedixit orans, ne principatum adeptus filii suique, si adhuc in vivis esset, oblivi-
22 sceretur. His actis Basilius discessit; illa vero ei rerum modo potito cum filio Cpolim profecta multa pretiosa munera obtulit;
23 quam ille honorifice excepit eiusque filium, quem fratrem spiritualem, ut diximus, nactus erat, protospatharii dignitate ornavit.
24 Aedes sacras diversis terrae motibus collapsas rex instau-
25 ravit atque etiam magnum fornicem occidentalem templi Sapien-

*καὶ τὴν δυτικὴν μεγάλην ἀψῖδα τῆς τοῦ θεοῦ λόγου Σοφίας
ῥαγεῖσαν καὶ πεσεῖν τυγχάνουσαν προσδοκήσιμον μηχαναῖς τεχνι-
τῶν συνέσφιγξέ τε καὶ ἥδρασε.*

Καὶ τῶν Ἰουδαίων πολλοὺς δόσεσι χρημάτων καὶ ὑποσχέ- 26
σεσι χριστιανοὺς γενέσθαι πέπεικε· καὶ τῷ ἔθνει τῶν Ῥῶς σπει- 27
*σάμενος εἰς ἐπίγνωσιν ἐλθεῖν τοῦ καθ' ἡμᾶς μυστηρίου πεποίηκε.
συνθεμένοις γὰρ βαπτισθῆναι ἀρχιερεὺς αὐτοῖς ἐστάλη παρὰ* 28 D
τοῦ αὐτοκράτορος. οἱ δὲ μεταθέσθαι μέλλοντες ἐκ τῆς οἰκείας 29
*θρησκείας εἰς τὴν καθ' ἡμᾶς ὤκνουν τε καὶ ἐδίσταζον καί
"εἰ μή τι θαῦμα ἴδοιμεν" εἶπον πρὸς τὸν ἀρχιερέα "οἷα πολλὰ* W III 140
*διδάσκεις αὐτὸς γενέσθαι πρὸς τοῦ Χριστοῦ, οὐκ ἄν ποτε δέ-
ξασθαι πεισθείημεν τὸ δόγμα τὸ σόν." καὶ ὃς "αἰτήσασθε"* 30
εἶπεν "ὃ βούλεσθε." κἀκεῖνοι "τὴν βίβλον" εἶπον "ἣ τὰ περὶ 31
*τοῦ Χριστοῦ διδάσκει, βλητέον εἰς πῦρ· καὶ εἰ διαμείνῃ ἀνά-
λωτος, πίστις ἔσται ταῦτα ἡμῖν ἀληθῶς εἶναι θεὸν τὸν παρὰ
σοῦ κηρυττόμενον." συνέθετο ποιῆσαι τουτὶ ὁ ἐπίσκοπος· ἀνήφθη* 32
πυρκαϊά, ἦρε πρὸς οὐρανὸν ὁ ἀρχιερεὺς τὰς χεῖράς τε καὶ τὰ P II 174 A

4 *ὅπως τὸ ἔθνος τῶν Ῥῶς (ῥὼς* C) *εἰς ἐπίγνωσιν ἦλθε Χριστοῦ* C

1 *δυτικὴν* AEwp, *πρὸς δύσιν* O Cedr. (Scylitz.) II p. 237, 21 *ἀψῖδα* Bs*Di*, *ἀψίδα* AEwp, *ἀψίδα* R 3 *ἥδρασε* (sic) AD 4 *πολλὰς* E *παροχαῖς* O 5 *πέπεικε γεν. χριστ.* O *ῥῶς* R, *ῥὼς* AEBwp*Di* 7 *ἀπεστάλη* D 11 *γενέσθαι* om. C 12 *τὸ* ante *δόγμα* om. D, add. Dw *αἰτήσασθαι* (ε supra) E, *αἰτήσασθαι* D, corr. Dw 14 *τοῦ* om. DE 15 *τοῦτο* Rwp 16 *ποιῆσαι τουτί* (*τοῦτο* Ewp) AEwp, *τῷ λόγῳ αὐτῶν* O 17 *τὰς* om. D *τὰ* om. D

tiae dei ruptum ruinamque minitantem machinis artificum constrinxit et firmavit.

Multis Iudaeis praebita pecunia ac pollicitationibus persua- 26
sit, ut Christiani fierent. Pace cum gente Russica facta effecit, 27
ut Russi in cognitionem arcanorum nostrorum pervenirent; ita- 28
que, cum se baptizari velle concessissent, pontificem iis impe-
rator misit. Ceterum a sua religione ad nostram transituri tergi- 29
versabantur et dubitabant ac "Nisi miraculum viderimus", inqui-
unt pontifici "qualia ipse multa a Christo facta esse doces, nun-
quam nobis persuadebis, ut doctrinam tuam amplectamur." Tum 30
is "Petite" inquit "quae velitis." At illi "Liber", aiunt "qui de 31
Christo docet, est in ignem coniciendus; qui si inviolatus man-
serit, ea nobis erunt argumento vere deum esse, qui a te prae-
dicatur." Assenso episcopo rogus incenditur, pontifex manibus 32
et oculis in caelum sublatis "Glorifica" inquit "nomen tuum,

33 ὄμματα· "δόξασόν σου" εἶπε "τὸ ὄνομα, Χριστὲ ὁ θεός." ἐνέθετο τῇ πυρκαϊᾷ τὸ ἱερὸν εὐαγγέλιον· τὸ δὲ χρονίσαν ἐν τῇ
34 φλογὶ ἀδιαλώβητον ἔμεινεν. οἱ βάρβαροι ἐξεπλάγησαν, ἐπίστευσαν τῷ κηρύγματι καὶ τελεσθῆναι κατήπειγον τῷ θείῳ βαπτίσματι. ταῦτα μὲν οὖν ταύτῃ συμβέβηκεν.
11 Ὁ δ' εἷς τῶν τοῦ βασιλέως υἱῶν ὁ Κωνσταντῖνος, ὃν καὶ
2 μᾶλλον τῶν ἄλλων ἐφίλει, νοσήσας ἐξέλιπε· καὶ ὁ αὐτοκράτωρ βαρέως τὸν ἐκείνου ἤνεγκε θάνατον καὶ ἦν ἀπαράκλητος καὶ
3 ἐζήτει ζῶντα τοῦτον ἐμφανισθῆναι αὐτῷ. ἦν δέ τις μοναχὸς Θεόδωρος, ᾧ Σανταβαρηνὸς τὸ ἐπώνυμον· οὗτος τῷ βασιλεῖ D IV 36
B προσῳκείωτο εἰς ἄκρον ἐναρέτου βίου αὐτὸν ἐφθακέναι πιστεύ-
4 οντι, ὡς ἐντεῦθεν καὶ σημεῖα ἐργάζεσθαι· οὗτος τοίνυν ὁ Σανταβαρηνός, ὃς καὶ τῆς μητροπόλεως Εὐχαΐτων ἐχρημάτισε πρόεδρος, λέγεται δεῖξαι τῷ βασιλεῖ τὸν τεθνηκότα υἱὸν αὐτοῦ ζῶντα
5 δῆθεν. ἐν γὰρ λόχμῃ τινὶ φαντάσαι τὸν Κωνσταντῖνον ἔφιππον τῷ οἰκείῳ συναντῆσαι πατρί· ᾧ καὶ περιπλακῆναι δόξας ὁ βα-
6 σιλεὺς καὶ καταφιλῆσαι, οὐκέτι τοῦτον ἑώρακε. καὶ ἄλλα δὲ τοιαῦτα ποιήσας ὁ Σανταβαρηνὸς καὶ τούτοις ἐκπλήξας τὸν

6 ὅτι θανόντος τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου, ὁ βασιλεὺς ἀπαρηγόρητος ἦν. καὶ ὅπως ὁ Σανταβαρηνὸς ἔδειξεν αὐτῷ τὸν τεθνεῶτα ἔφιππον CE

1 τὸ ὄνομα εἶπε Rwp   2 δὲ om. w*p invitis AR   5 ταύτῃ συμβέβηκεν AED$_w$wp, ὧδέ πῃ τέλος (om. C) ἔσχον O   6 δὲ B^s(?)p   9 ζῶντα Rwp*Di*, ζῶν A   ἐμφανεσθῆναι D, corr. D$_w$ 10 ὁ add. post ᾧ D   τὸν D, τὸ corr. D$_w$ 13 τῶν εὐχ. Ewp   14 τεθνικότα D, corr. D$_w$ 15 ἔφιπο D, corr. D$_w$

33 Christe deus", sacrum evangelium in rogum imponit. Quod diu
34 in flamma relictum illaesum mansit. Barbari obstupefacti praedicationi crediderunt et ut sacro baptismate initiarentur flagitarunt. Haec sic acta sunt.
11. Ceterum Constantinus, unus ex regis filiis, patri prae
2 ceteris carus ex morbo obiit; cuius mortem imperator graviter ferens, omni consolatione repudiata, eum sibi viventem offerri
3 cupiebat. Erat autem quidam monachus Theodorus, cognomento Santabarenus, regi ob summam de ipsius virtute opinionem, ut
4 etiam miracula edere crederetur, familiaris idemque metropolis Euchaitorum antistes. Eum igitur dicunt regi defunctum filium
5 ostendisse viventem, cum effecisset, ut Constantinus equo insidens patri occurrere loco quodam arboribus obsito videretur; quem, cum amplexus et deosculatus esset, non amplius vidisse
6 regem. Sed et aliis similibus factis Santabarenus rege in admirationem adducto effecerat, ut is totus ex ipso penderet, ut fidem

βασιλέα ὅλον εἰς ἑαυτὸν περιήγαγεν, ὡς πίστιν εἰς αὐτὸν κεκτῆ-
σθαι καὶ κατὰ μηδὲν αὐτῷ ἀπιστεῖν. καὶ ὁ μὲν βασιλεὺς οὕτω 7
διέκειτο πρὸς τὸν Σανταβαρηνόν. ὁ δὲ Λέων, ὁ δεύτερος τῶν 8 C
τοῦ βασιλέως υἱῶν ἤδη νεανίας γενόμενος καὶ γυναικὶ συζυ-
γεὶς τῇ θυγατρὶ τοῦ Μαρτινακίου καὶ ἀναρρηθεὶς βασιλεὺς παρὰ
τοῦ πατρὸς αὐτοῦ, τῷ Σανταβαρηνῷ οὐκ ἠρέσκετο, ἀλλὰ φαρ-
μακὸν ἀπεκάλει καὶ γόητα καὶ ἀπατῶντα τὸν αὐτοκράτορα.
τούτοις ἐκεῖνος ὥς τισι κέντροις πληττόμενος εἰς ἄμυναν δι- 9
ανίσταται καὶ πλασάμενος εὔνοιαν πρὸς τὸν Λέοντα "νεανίαν
ὄντα σε" λέγει "ὦ βασιλεῦ, καὶ τῷ πατρὶ συνθηρῶντα καὶ
συνιππεύοντα δεῖ σε καὶ ἐγχειρίδιον ἐπιφέρεσθαι, ἵνα τούτῳ
καὶ κατὰ θηρίου χρήσῃ ὁπότε δέοι καὶ τῷ πατρί σου ἴσως
ὀρέξῃ κατὰ καιρὸν ἢ τυχὸν καὶ ἐπιβουλεύοντας ἀμυνῇ." ὁ δὲ 10
μὴ φωράσας τὸν δόλον ξιφίδιον ἔνδον φέρειν τοῦ ὑποδήματος D
ἐπείσθη κατὰ τὴν συμβουλήν. τούτῳ τοίνυν τῷ ξιφιδίῳ ὁ 11
Σανταβαρηνὸς κατὰ τοῦ Λέοντος χρᾶται εἰς ἄμυναν καὶ τῷ
βασιλεῖ "ἐπιβουλεύει σοι" φησίν "ὁ υἱός σου, καὶ τούτου δεῖγμα
D IV 37 *τὸ φέρειν, ὅτε σοι συνθηρᾷ, κεκρυμμένον ξιφίδιον." ἐξῆλθεν* 12

3 *ὅσα ὁ Σανταβαρηνὸς κατὰ τοῦ* (om. A) *Λέοντος τοῦ υἱοῦ τοῦ βασιλέως* (*τοῦ υἱοῦ τοῦ βασιλέως λέοντος* C) *ἐτύρευσε* ACE *καὶ ὅπως αὐτοῦ κατεῖπε πρὸς τὸν πατέρα· καὶ ὅσα ὁ Λέων ἔπαθεν* CE

3. 4 *ὁ δεύτερος τῶν τοῦ βασιλέως υἱῶν* AEwp, *ὁ τοῦ βασιλέως υἱὸς* O 4 *συζευχθεὶς* Ewp 8 *ὥς τισι*] *ὥσπερ* C 10 *σε ὄντα* D *ἔλεγεν ὄντα σε* B 10. 11 *συνιππ. καὶ συνθ.* Ewp 11 *τοῦτο* E 12 *καὶ* prius om. D, add. D_w *δέοι* Rwp*Di*, *δὲ οἱ* A 13 *ὀρέξῃς* Rwp, *ὀρέξεις* D *καὶ* om. O *ἐπιβουλεύσοντας* D, corr. D_w ante *ἀμυνῇ* add. *αὐτῷ* Rwp 15 *συμβολήν* D, corr. D_w 16 *χρῆται* D 17 *ἐπιβουλεύσει* D, corr. D_w *σου* om. O *τοῦτο* D

ei haberet neque ulla in re diffideret. Rex igitur hoc modo erga 7
Santabarenum affectus fuit. Sed Leo, alter eius filius iam adul- 8
tus et Martinacii filia uxore ducta a patre rex salutatus, Santabareno non delectabatur, sed eum veneficum appellabat et praestigiatorem et regis deceptorem. His ille velut spiculis quibus- 9
dam ictus ad ultionem insurgit simulataque erga Leonem benevolentia "Cum sis" inquit "adulescens, o rex, et una cum patre venere atque equites, etiam pugio tibi ferendus est, quo et contra feram, si opus fuerit, utare et patri tuo, si res tulerit, porrigas aut etiam eius insidiatores ulciscare." Is dolo non perspecto 10
pugionem, ut ille suaserat, in calceo fert. Eo pugione ad ultio- 11
nem Leonis Santabarenus usus "Rex" inquit "filius tuus tibi insidiatur; indicio illud est, quod, si tecum venetur, pugionem occultum gerit." His auditis venatum exit Basilius, Leo patrem 12

οὖν εἰς κυνηγέσιον ὁ Βασίλειος καὶ ὁ Λέων παρείπετο τῷ πατρί·
εὑρέθη τὸ ἐγχειρίδιον κεκρυμμένον ὑπὸ τὸ πέδιλον, ἔδοξεν ἀλη-
θεύειν ὁ κατειπών, ἀπολογούμενος ὁ κατηγορούμενος οὐ προσ-
13 *ίετο· ἐξώργιστο κατὰ τοῦ υἱοῦ ὁ πατήρ, ἐγκλείει τοῦτον τῶν*
P II 175 A *βασιλικῶν θαλάμων ἑνὶ καὶ τὰ τοῦ κράτους ἀφαιρεῖται παρά-*
14 *σημα, ὡς δέ τινες ἱστοροῦσι, καὶ τὰ ὄμματα τῷ υἱῷ πηρῶσαι*
διεμελέτα, παρὰ τοῦ Σανταβαρηνοῦ πρὸς τοῦτο ἐρεθιζόμενος·
15 *καὶ ἔργον ἂν ἐγένετο τὸ μελέτημα, εἰ μὴ ὁ πατριάρχης καὶ*
τῆς συγκλήτου οἱ προὔχοντες πολλὰ δεηθέντες τοῦ βουλεύματος
W III 141 16 *τὸν βασιλέα μετέστησαν. τέως δ' οὖν ἐπέμενεν ἡ ὀργή, καὶ*
17 *ὁ Λέων ἔμφρουρος ἦν, καὶ χρόνος ἐτρίβη συχνός· συνευωχεῖτο*
δ' ὁ βασιλεὺς τῶν τῆς συγκλήτου τισί· τοῦτο δὲ κατὰ καιροὺς
18 *ὡρισμένους ἐκ συνηθείας ἐγένετο παλαιᾶς. ἦν δ' ἐν τῷ οἴκῳ,*
καθ' ὃν ἐγίνετο τὸ συμπόσιον, ζῷον ἐν κλωβῷ ἠωρημένον
19 *τῶν μιμηλῶν, καλούμενον ψιττακός· τοῦτό τινος ὀδυρομένου*
B *καὶ ἀνακαλουμένου τὸν Λέοντα συνεχῶς ἀκοῦον ἐμιμήσατο τὴν*
20 *φωνὴν καί "Λέων Λέων" ἐβόα πυκνά. τὰς γοῦν φωνὰς ταύ-*
τας τοῦ ὄρνιθος οἱ τῷ βασιλεῖ συνεστιώμενοι λαβὴν εὑρόντες

2 *τὸ ἐγχ.* ARw, *καὶ ἐγχ.* p* post *τὸ* alterum add. *τοῦ λέοντος* Owp 3 post *ὁ* add. *αὐτοῦ* O 2. 3 *ἔδοξεν—προσίετο*] De chiasmo v. ad XIII 2, 6 3 *εἰών* D, *κατειπὼν* corr. Dw 5 *καὶ* om. E, v. ad XIII 2, 36 7 *ἐμελέτα* D *παρὰ*] *ποίω* D 9 *οἱ* ante *τῆς* D *προὔχοντες* AEwp, *προύχοντες* O*Di*, v. ad XV 12, 17 13 *ἐγίνετο* BCwp*Di*, sed v. Hultschium *Die erzähl. Zeitf.* cet. I 5. XXVIII 11 14 *τὸ* om. C *ζῷον* om. C *κλωβῷ* D, asteriscum add. Dw, corte: *Wo* lat., cavea corr. *Duc* 15 *σιττακός* BCE *ὀδυρουμένου* D, sed prius *ου* in ras. 17 *λέον, λέον* O*Di* *οὖν* Ewp

comitatur; inventus est pugio in calceo occultatus, visus est vera
13 dixisse delator, rei defensio non admittitur; ardet iracundia
pater contra filium, in quodam regio cubiculo imperii signis
14 ademptis eum includit, filio, ut quidam tradunt, oculos eruere
15 in animo habebat, Santabareno impellente; idque accidisset, nisi
patriarcha et principes senatus multis precibus regem a senten-
16 tia deduxissent. Ea ira durat, Leo in custodia tenetur, longum
17 tempus intercedit, donec rex quibusdam senatoribus in convivio
affuit, id quod veteri quadam consuetudine certis temporibus
18 fiebat. Erat autem in iis aedibus, ubi convivium agitabatur,
psittacus in cavea suspensus, qui, ut id genus avium ad imitan-
19 dum proclive est, cum quendam Leonem continenter deplorantem
et appellantem audisset, vocem imitatus subinde clamabat: "Leo,
20 Leo." Ex ea volucris voce convivae occasione arrepta pro
Leone deprecandi e convivio surrexerunt et oppleti lacrimis

τῆς ὑπὲρ τοῦ Λέοντος παρακλήσεως ἀνέστησάν τε τοῦ συμ-
ποσίου καὶ δακρύων πλησθέντες "εἶτα" φασίν "οὐκ εἰς κατη-
γορίαν ἔσται ἡμῖν τὸ ζῷον τοῦτο, ὦ βασιλεῦ, ὅτι αὐτὸ μὲν
τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τῆς μετὰ τοῦ κρά-
τους σου πανδαισίας ἐπαπολαύοντες ἀμνημονοῦμεν ἐκείνου, ἐπὶ
χρόνον ἤδη καθειργμένου πολύν; ἄνες, δέσποτα, τὴν κατ' ἐκείνου 21
ὀργὴν καὶ λῦσον αὐτῷ τὴν φρουρὰν καὶ πρόσβλεψον εὐμενὲς
D IV 38 ἢ μᾶλλον πρόσιδε ὡς πατήρ." τούτοις ὁ βασιλεὺς ἐχάλασε 22 C
τὴν κατὰ τοῦ υἱέος ὀργὴν καί οἱ ἐσπείσατο καὶ τὴν τιμὴν ἀπέ-
δωκε τὴν βασίλειον.

Εἰς θήραν δὲ ἀπελθὼν ἐλάφῳ ἐντυγχάνει τὸ μέγεθος ὑπερ- 23
φυεῖ καὶ εἰς ὕψος ἠρμένα κέρατα φέροντι, καὶ τοῦτον ἐδίωκε
καὶ πλησιάσας αὐτῷ ἦρε τὴν χεῖρα ξιφήρη πλῆξαι τὸ ζῷον
βουλόμενος. τὸ δὲ τοῖς κέρασιν ἠμύνετο τὸν διώκοντα, καί 24
τινος τῶν αὐτοῖς παραφυομένων ὄζων ἐμβληθέντος τῇ ζώνῃ
τοῦ βασιλέως μετέωρος ἐκεῖνος ἐφέρετο, ἠωρημένος τοῦ ζῴου
τοῖς κέρασι· καὶ τάχα ἂν ἠνάλωτο, εἰ μή τις φθάσας καὶ ξίφει 25
τεμὼν τὴν ζώνην αὐτὸν διεσώσατο. ᾧ καὶ σῶστρα καλὰ δέ- 26
δωκεν ὁ ὑπ' ἐκείνου σωθεὶς τὴν τῆς κεφαλῆς ἐκτομήν, καὶ ἡ D

11 ἐξ οἵας λαβῆς ἐτελεύτησεν ὁ βασιλεὺς καὶ περὶ τοῦ διασώσαντος αὐτὸν (om. E) ἐκ τοῦ ἐλάφου CE

3 τοῦτο τὸ ζῷον Ewp   7 πρόβλειψον E   9 υἱέως Ewp, υἱοῦ D   ἀπέδοτο D, ἀπέδωκε corr. D_w 11 post ἀπελθὼν add. ὁ βασιλεὺς Owp   ἐλάφων C   ἐλάφῳν (sic) τυγχάνει D_w τὸν ὄγκον O   13 ξῶον D, corr. D_w 15 ὄξων (sic) A   ἐμπαρέντος Owp   16 ἐκρέματο C   17 post ἂν add. καὶ Rwp   ἀνάλωτο D   18 καὶ om. CD

dixerunt: "An non ista volucris nos accusabit, rex, cum ipsa
dominum suum appellet, nos autem maiestatis tuae epulis fruentes
illius iam longum per tempus inclusi obliviscamur? Omitte iram, 21
domine, contra illum conceptam, deme illi custodiam, placido
eum ac potius paterno vultu aspice." His verbis ira mitigata 22
rex cum filio in gratiam rediit, dignitate pristina restituta.

Post, cum venatum exiisset, in cervum incidit inusitata 23
magnitudine elata in altum cornua gestantem, quem persequendo
assecutus cum stricto gladio percussurus esset, bellua se defen- 24
dit et ramo uno de cornibus zonae regis infixo illum sublimem fert
cornibus suspensum; ac forsitan ita periisset, nisi a quodam, ense 25
dissecta zona, esset ereptus. Cui mercedem salutis suae prae- 26
claram reddidit ille, capitis truncationem, speciosa causa quaesita,

σκῆψις ὡς εὐπρεπής· "ὅτι ξίφος" ἔφη, "ἐπὶ βασιλέα γυμνώ-
27 σειε", μὴ λογισάμενος ὅτι ὑπὲρ βασιλέως ἦρκε τὸ ξίφος ὁ ἄν-
θρωπος καὶ ἀμοιβῆς μᾶλλον ἦν ἄξιος καὶ δωρημάτων βασι-
λικῶν. καὶ ὁ μὲν οὕτως ἀπώνατο τῆς ὑπὲρ τοῦ βασιλέως
28 σπουδῆς. ὁ δὲ πληγεὶς καὶ τὸ σῶμα τῷ κέρατι καὶ περιδινη-
29 θεὶς τὰ σπλάγχνα ἐπεβίω μέν, ἀλλ' οὐκ εἰς μακρόν· ἀπεβίω
δ' ἐντεῦθεν, συμβασιλεύσας μὲν τῷ Μιχαὴλ ἔτος ἕν, αὐταρχή-
σας δ' ἐννεακαίδεκα, τῷ υἱῷ Λέοντι τὴν βασιλείαν λιπών, ὄντι
πρεσβυτέρῳ τῶν περιόντων υἱῶν.

12 Αὐτοκράτωρ δὲ γεγονὼς ὁ Λέων αὐτίκα πρὸς ἄμυναν
2 διανέστη τοῦ Σανταβαρηνοῦ. ὑποπτεύων δὲ ὡς ἀντιλήψεται
P II 176 A τούτου ὁ πατριάρχης Φώτιος, φιλίως πρὸς αὐτὸν διακείμενος,
αἰτίας πλάττει κατὰ τοῦ πατριάρχου καὶ ἐξωθεῖ τῆς ἐκκλησίας
αὐτὸν καὶ ἐν τῇ τῶν Ἁρμονιανῶν περιορίζει μονῇ, πατριάρχην
3 δὲ Στέφανον προεχειρίσατο, τὸν οἰκεῖον ὁμαίμονα· καὶ ὅτι μὴ
ἦν Ἡρακλείας ἀρχιερεύς, ὑπὸ τοῦ πρωτοθρόνου κεχειροτόνητο. D IV 39
4 ἀχθῆναι δ' ἐξ Εὐχαΐτων ἐκέλευσε τὸν Σανταβαρηνόν· τῆς ἐκεῖ

10 βασιλεία Λέοντος τοῦ φιλοσόφου AR 11 ὅτι ἐξώθησε τῆς ἐκκλησίας ὁ Λέων τὸν Φώτιον καὶ τὸν ἀδελφὸν Στέφανον πατριάρχην προεχειρίσατο CE

2 post ὑπὲρ add. τοῦ B 3 βασιλικῶν] πολλῶν D *Wo* lat. 4 ἀπώλετο B 5 καὶ prius om. Rwp τὸ σῶμα om. O 6 ἀπεβίωσε B 12 φώτιον D, corr. Dw ἵλεως D, corr. Dw 13 ἐξ αὐτῆς D, ἐξωθεῖ corr. Dw 14 ἁρμονιανῶν AD, Cedr. (Scylitz.) II p. 249, 11, Theoph. cont. p. 354, 4, v. G. M. p. 767, 5 ann. cr., ἀρμονιανῶν C, ἁρμενιανῶν EDw, ἀρμενιανῶν Bw, G. M. p. 767, 5, L. G. p. 263, 7, Th. M. p. 183, Αρμενιακῶν p, Ἀρμενιακῶν *Di* Sym. mag. p. 700, 15, v. Hergenroetherum *Photius* cet. Ratisb. 1867 t. II p. 683 ann. 5 et Hierocl. 641, 8 Burckhardt 15 προεχ. στεφ. C 16 ὑ τοῦ (sic) A 17 διεξευχαιτων (punctis notat.) D, δ' ἐξ εὐχαϊτῶν Dw 17. p. 441, 1 γὰρ ἐκεῖ EDwwp

27 quod ensem contra regem strinxisset; neque reputavit hominem
illum pro rege potius gladium strinxisse ac remuneratione regiis-
que praemiis esse dignum; is igitur sui erga regem studii hunc
28 fructum cepit. Basilius vero corpore cornu percusso conversis-
que intestinis supervixit ille quidem, sed non diu, mortemque
29 obiit. Regnavit cum Michaële annum unum, solus decem et no-
vem, imperio Leoni, filio ex superstitibus natu maximo, relicto.
12. Imperator factus Leo statim de ulciscendo Santabareno
2 cogitat. Sed cum timeret, ne is a Photio amico defenderetur,
patriarcham causas quasdam commentus ecclesia eiectum in Har-
monianorum relegat monasterium fratremque suum Stephanum
3 patriarcham designat; qui, quia Heracleae pontifex nullus erat,
4 a protothrono consecratus est. Santabarenum Euchaitis, cuius

γὰρ ἐκκλησίας προήδρευε. πέμψας δὲ εἰς τὴν ἐν Χρυσοπόλει 5
μονὴν τοῦ Φιλιππικοῦ, ὅπου ὁ βασιλεὺς Μιχαὴλ ἐτέθαπτο,
ἐξάγει τὸ σῶμα τούτου ἐκ τῆς σοροῦ καὶ μετὰ προπομπῆς
πολλῆς καὶ βασιλείου τιμῆς εἰς τὸν τῶν ἁγίων ἀποστόλων ναὸν
κατατίθησιν ἐν λάρνακι μαρμαρίνῃ, καὶ τῶν ἀδελφῶν αὐτοῦ
παρόντων ἐπὶ τῇ προπομπῇ, τοῦ τε Ἀλεξάνδρου καὶ τοῦ πα- B
τριάρχου. τῇ δὲ τοῦ Ζαούτζη Στυλιανοῦ θυγατρὶ συμφθειρό- 6
μενος ἔτι ζώσης Θεοφανοῦς τῆς αὐτοῦ γαμετῆς τὸν πατέρα W III 142
ταύτης μάγιστρον ἐτίμησε καὶ λογοθέτην τοῦ δρόμου, μετέπειτα
μέντοι καὶ βασιλεοπάτορα, αὐτὸς τὸ ὄνομα εὑρών.

Ἐξ ἐμπρησμοῦ δὲ μετὰ τῶν ἄλλων καὶ τοῦ ναοῦ τοῦ ἁγίου 7
ἀποστόλου Θωμᾶ πυρποληθέντος, ὁ βασιλεὺς οὗτος αὐτὸν ἀνε-
καίνισεν. ἤδη δὲ καὶ ὁ Σανταβαρηνὸς ἤχθη καὶ εἰς τὰ ἐν ταῖς 8
Πηγαῖς ἐφρουρεῖτο βασίλεια, ἔνθα πέμψας ὁ βασιλεὺς καὶ ἀφει-
δῶς αὐτὸν αἰκισάμενος ἐν Ἀθήναις ὑπερόριον ἔθετο. οὐ πολὺ 9
τὸ ἐν μέσῳ καὶ πέμψας ἐκεῖ ἐξέκοψε τὰ ὄμματα αὐτοῦ. μετὰ 10
δὲ πλείους ἐνιαυτοὺς τῆς ὑπερορίας τε τὸν ἄνθρωπον ἐπανή- C
γαγε καὶ προνοίας ἠξίωσεν.

1 *ὅπως ἐτίμησε τὸν* (om. E) *τοῦ βασιλέως Μιχαὴλ* (*τὸν* add. E) *νεκρόν* CE 11 *ὅτι πυρποληθέντα τὸν τοῦ ἁγίου Θωμᾶ ναὸν ὁ βασιλεὺς οὗτος ἀνεκαίνισεν* C 13 *ὅπως τὸν Σανταβαρηνὸν ἠμύνατο* CE

1 *προέδρευε* D, corr. D_w 3 *σοφοῦ* D, corr. D_w 4 *βασιλειόυ* AE$D_w$wp, *βασιλεῖ πρεπούσης* O; de chiasmo *προπομπῆς—τιμῆς* v. ad XIII 2, 6 6 *ἐπὶ*] *ἐν* CD *τε* om. C post *πατρ.* add. *στεφάνου* Rwp 7 *ἡ* D, *τῇ* corr. D_w 8 *θεοφ.* post *γαμετῆς* C 10 *ἐφευρὼν* Owp*Di*, *εὑρηκὼς* ED_w 11 *τοῦ* post *ναοῦ* om. w*p invitis AR 13 *ταῖς* om. D 16 *στείλας* O *τοὺς αὐτοῦ ἐξέκοψεν ὀφθαλμούς* Owp, *ἐξέπεμψεν ἔξοθεν τὰ ὄμματα αὐτοῦ* E 18 *ἠξίωσε* Ewp*Di*, v. ad XIII 1, 5

urbis ecclesiae praeerat, adduci iussit. Misit et Chrysopolim in 5
Philippici monasterium, ubi rex Michaël sepultus erat, eiusque
corpus loculo eductum cum magno comitatu et regio honore in
sanctorum apostolorum aede in marmorea arca reponit, etiam
fratribus suis Alexandro et patriarcha praesentibus. Zautzem 6
Stylianum, cuius filiam, superstite tum Theophanone coniuge, subigebat, magistrum designavit et cursus publici logothetam, post
etiam novo excogitato nomine regis patrem.

Aedem S. Thomae apostoli una cum aliis aedificiis incensam 7
hic rex renovavit. Santabarenum iam adductum in regia Pegana 8
custodiit et inclementer flagris caesum Athenas relegavit, neque 9
multo post oculos ei effodi iussit. Verum pluribus annis elapsis 10
hominem ab exilio revocatum benigne tractandum curavit.

11 Ὁ δὲ Λογγιβαρδίας δοὺξ Ἀγίων, τοῦ ῥηγὸς Φραγγίας τυγ-
χάνων γαμβρός, ἐπεὶ τὸν θάνατον τοῦ Βασιλείου ἐπύθετο, τὰς
πρὸς Ῥωμαίους συνθήκας ἠθέτησε καὶ τὴν χώραν ἅπασαν
12 ᾠκειώσατο. διὸ τὸν ἐπὶ τῆς τραπέζης ἔπεμψεν ὁ βασιλεὺς κατ'
13 αὐτοῦ μετὰ τῶν δυτικῶν ταγμάτων· ὃς συμμίξας αὐτῷ ἡττήθη
καὶ πάντας σχεδὸν οὓς ἐπήγετο ἀπεβάλετο, μόλις αὐτὸς δια-
14 δράς. τοῦ δὲ πατριάρχου Στεφάνου ἐκλελοιπότος Ἀντώνιος
προκεχείριστο πατριάρχης, ὃς Καυλέας ὠνόμαστο. D IV 4(

15 Τῶν δὲ Βουλγάρων ἐνσπόνδων ὄντων καὶ ἐμπορίας ποιου-
μένων μετὰ Ῥωμαίων, οἱ τοῖς τελωνήμασιν ἐφεστῶτες ἄδικα
D 16 αὐτοὺς εἰσέπραττον τέλη. τοῦτο τῷ αὐτῶν ἄρχοντι Συμεὼν
λαβὰς ζητοῦντι τοῦ κατὰ Ῥωμαίων πόλεμον ἄρασθαι εἰς πρό-
17 φασιν ἤρκεσε. καὶ μέντοι καὶ ἤρατο· καὶ Ῥωμαϊκὸν αὐτῷ
ἀνθοπλισάμενον στράτευμα ἥττητο, καὶ πολλοὶ μὲν ἔπεσον τῶν
18 Ῥωμαίων καὶ ὁ στρατηλάτης αὐτός· πολλοὶ δ' ἑάλωσαν, ὧν
τὰς ῥῖνας ὁ Συμεὼν ἐκτεμὼν ἐπανελθεῖν ἀφῆκε πρὸς τὸ Βυ-
19 ζάντιον. τούτοις περιαλγήσας ὁ βασιλεὺς δώροις τοὺς Τούρ-

7 περὶ πατριαρχῶν C 9 περὶ Βουλγάρου ἄρχοντος Συμεών E, περὶ Βουλγάρων καὶ τοῦ ἄρχοντος αὐτῶν Συμεὼν καὶ ὅσα συνέβη ἐξ ἐκείνου Ῥωμαίοις C

1 ὁ δοὺξ δὲ λογγ. O ἁγίων AR, G. M. p. 770, 8, L. G. p. 265, 23, ἁγίων DEw*Di*, Th. M. p. 185 4 τὸν] τῶν C 5 τῶν δυτικῶν ταγμάτων AEDwwp, τῶν ταγμάτων δυτικῶν D, τῶν ταγμ. τῶν δυτικῶν BC 6 ἐπηγάγετο D 7 ἀντώνιος D, corr. Dw 8 ὃς Κ. ὠνόμαστο om. E 10 οἱ ἐφεστηκότες τοῖς τελ. O 11 αὐτοὺς om. B τῷ ἄρχοντι αὐτῶν O 12 post εἰς add. μάχης Owp 13 ἤρατο (sic) A, v. ad XVI 2, 1 15 στρατηγὸς O 16 ῥῖνας BC*Di*, ῥίνας ARwp σημεὼν D, corr. Dw 17 βασιλεῦς D, corr. Dw

11 Ceterum Agio, Longobardiae dux, regis Franciae affinis,
audita Basilii morte, Romano foedere sublato omnem sibi provin-
12 ciam vindicavit. Quare rex mensae praefectum cum occiden-
13 talibus legionibus contra eum misit; qui proelio victus, fere
14 omnibus, quos adduxerat, amissis, fuga aegre elapsus est. Ste-
phano patriarchae defuncto Antonius, cognomento Cauleas,
successit.

15 Cum Bulgari pace facta cum Romanis commercia haberent,
16 sed portitores ab iis vectigalia iniqua exigerent, id Symeoni,
illorum principi, iamdudum occasionem captanti satis causae
17 visum ad bellum Romanis inferendum. Sed Romanus exercitus
contra eum missus succubuit, multis caesis ipsoque duce inter-
18 fecto, multis captis, quos Symeon nasis praecisis Byzantium redire
19 passus est. Quibus rebus irritatus rex Turcos Istrum accolentes,

κους ἔπεισε τοὺς περὶ τὸν Ἴστρον, οἳ καὶ Οὔγγροι καλοῦνται,
τοῖς Βουλγάροις ἐπεξελθεῖν καὶ ὅση δύναμις κακῶσαι αὐτούς.
καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε θαλάσσης καὶ διὰ γῆς ἡτοί- 20
μαστο ὅπλα κινῆσαι κατὰ τῶν Βουλγάρων, τῷ πατρικίῳ Νικη-
φόρῳ τῷ Φωκᾷ τὸν κατ' αὐτῶν ἀναθέμενος πόλεμον, δομέ-
στικον τῶν σχολῶν αὐτὸν προβαλόμενος. πρὸ τοῦ πολέμου δὲ 21 P II 177 A
τὸν κοιαίστωρα στέλλει ὁ αὐτοκράτωρ πρὸς Συμεὼν περὶ εἰρή-
νης πρεσβεύσοντα. ὁ δὲ βάρβαρος δόλῳ τοῦτον ὑποτοπήσας 22
ἐλθεῖν καθείργνυσι καὶ δεσμεῖ καὶ τῷ Φωκᾷ ἀντεμάχετο. ἐκεί- 23
νου δὲ περὶ τοῦτον ἀσχολουμένου οἱ Οὔγγροι τὴν χώραν αὐτοῦ
ἐληίσαντο. διὸ τὸν Φωκᾶν λιπὼν κατ' ἐκείνων ἐξώρμησε καὶ 24
συμβαλὼν αὐτοῖς ἥττητο, πολλῶν μὲν σφαγέντων Βουλγάρων,
πλειόνων δ' ἁλόντων, αὐτοῦ δὲ τοῦ Συμεὼν μόλις ἐν Δορο-
στόλῳ φυγόντος· τοῦτο δ' ἡ Δρίστρα ἐστί. τοὺς δ' αἰχμαλώ- 25
τους Βουλγάρους ὁ βασιλεὺς παρὰ τῶν Οὔγγρων ἐπρίατο καὶ B
ὁ Συμεὼν περὶ εἰρήνης ἱκέτευε. καὶ πιστεύσας τοῖς λόγοις 26
ἐκείνου ὁ βασιλεὺς τὸν Χοιροσφάκτην ἀπέστειλε σπονδὰς ποιη-

9 ὅτι ἐπῆλθον τοῖς Βουλγάροις οἱ Οὔγγροι CE 13 περὶ τῆς Δρίστας (v. ad XVI 12, 24) ὅτι Δορόστολον ἐλέγετο E

1 ἴστρον OwpDi, ἴστρον E, οἶστρον A οὔγγροι Ewp 3 δὲ om. E τε] τῆς D 4 τῶν om. Rwp 5 αὐτῶν RDwwpDi, αὐτὸν AD 6 προβαλλόμενος CEwp, v. ad XIV 11, 5 7 κοιαίστορα DEwp ὁ αὐτοκρ. om. O post πρὸς add. τὸν O 8 πρεσβεύοντα Ewp 9 post καθείργ. add. τὸν ἄνδρα BCwp ποιεῖται ὑπὸ δεσμοῖς O 10 τούτου D, τοῦτον corr. Dw οὔγγαροι Ewp 11 ἐκεῖνον D, corr. Dw 12 ἥττετο D, corr. Dw 14 δρίστα EDw, v. XVII 2, 33 et Hierocl. Synecd. p. 63, 33. 67, 86 Burckhardt 16 ἐπρέσβευε O πιστεύσας οὖν omisso καὶ O

qui et Ungri vocantur, muneribus impulit, ut Bulgaros ulcisce-
rentur et pro viribus affligerent. Ipse quoque rex terra marique 20
arma inferre Bulgaris parat, summa rerum patricio Nicephoro
Phocae, quem domesticum scholarum designavit, mandata. Verum 21
ante bellum quaestorem de pace legatum imperator ad Symeo-
nem mittit. Quem barbarus dolo adesse suspicatus in vincula 22
coniectum includit et Phocae resistit. Quo bello dum occupatur, 23
Ungri eius agros populantur. Quare Phoca omisso contra illos 24
proficiscitur et acie congressus superatur, multis Bulgaris inter-
fectis, plurimis captis; Symeon ipse Dorostolum, quae Dristra
est, vix confugit. Captivos Bulgaros rex ab Ungris emit, ad 25
quem Symeon legatos de pace misit; cuius verbis fide habita 26

27 σόμενον, ὃν ὁ βάρβαρος κατέσχε τε καὶ ἐδέσμησεν. αὐτὸς δὲ D IV 41
τοῖς Τούρκοις ἐπῆλθε καὶ ἐτρέψατό τε αὐτοὺς καὶ τῇ χώρᾳ
28 σφῶν ἐλυμήνατο. εἶτα ἐπέστειλε τῷ Λέοντι μὴ ἄν ποτε σπεί-
σασθαι, εἰ μὴ τοὺς αἰχμαλώτους Βουλγάρους λήψοιτο πρότερον·
29 καὶ τούτους λαβὼν οὐκ ἐσπείσατο. ὁ γοῦν βασιλεὺς τοῖς τε
τάγμασι τοῖς ἑῴοις καὶ τοῖς ἑσπερίοις ὁμοῦ συνελθοῦσι κατὰ
τῶν Βουλγάρων ἐχρήσατο, ἀλλ' ἡττήθησαν ἅπαντα τῷ Συμεὼν
προσβαλόντα. καὶ τὰ μὲν τῶν Βουλγάρων τοῦτον εἶχε τὸν
τρόπον.
30 Ὁ δὲ βασιλεὺς ἐν ἀγροῖς τισι τῇ τοῦ Ζαούτζη συνὼν θυ-
C 31 γατρὶ τῇ Ζωῇ ἐπεβουλεύθη παρά τινων. αἰσθομένης δὲ τῆς
Ζωῆς ἐκ θροῦ τὴν ἐπιβουλὴν καὶ διυπνισάσης τὸν βασιλέα
κοιμώμενον, αὐτίκα ἐκεῖνος ἐπανῆλθεν εἰς τὰ βασίλεια καὶ οὕτω
32 διέφυγε τὴν ἐπιβουλήν. ἄρτι δὲ τῆς βασιλίδος θανούσης Θεο-
W III 143 φανοῦς τὴν εἰρημένην Ζωὴν ὁ βασιλεὺς Αὐγούσταν ἀνηγόρευσε
καὶ νόμιμον ἔθετο γαμετὴν τὴν πρὶν αὐτοῦ παλλακήν, ἧ ἐπ'
33 ὀλίγον τῆς εὐτυχίας ἀπώνατο· ἐνιαυτὸν γὰρ ἕνα ἐπὶ μησὶν ὀκτὼ
34 τῇ βασιλείᾳ ἐπιβιώσασα τέθνηκεν. ἑτέρα δ' αὖθις ἐπιβουλὴ

10 ἐπιβουλὴ κατὰ τοῦ (om. E) βασιλέως Λέοντος CE 14 ὅτι τὴν τοῦ Ζαούτζη Ζωὴν ἔστεψεν ὁ Λέων (βασιλεὺς E) CE 18 ἑτέρα ἐπιβουλὴ παρὰ τοῦ Σαμωνᾶ καταμηνυθεῖσα E

1 τε om. C δὲ om. Ewp 2 ἐπῆλθεν Ewp, v. ad XIII 1, 5 4 βουλγάρων C 5 τε om. CEwp 7 τῶν om. DE 7. 8 προςβ. τῷ συμεὼν Owp 8 τοῦτον ex τούτῳ corr. A 12 ἐκ θροῦ] ἐχθροῦ EDw 16 παλακὴν CD, corr. Dw 18 τέθνηκεν RwpDi, τέθνηκε AD, v. ad XIII 1, 5

27 Leo Choerosphactem ad pacem faciendam ablegavit. Sed bar-
barus eo detento et vincto Turcos invasit iisque in fugam versis
28 et agris eorum vastatis Leoni scripsit se cum eo pacem non
facturum, nisi captivos Bulgaros recepisset; quos cum recepisset,
29 tamen pacem non fecit. Igitur rex contractis in unum omnibus
et orientalibus et occidentalibus legionibus contra Bulgaros usus
est, quae tamen cum Symeone congressae succubuerunt. Ita res
Bulgarorum sese habebant.
30 Deinde cum in agris quibusdam Zoës, Zautzis filiae, consue-
31 tudine uteretur, insidiis a quibusdam est appetitus; quas cum
Zoë ex murmure animadvertisset ac regem dormientem excitasset,
32 ille statim in regiam reversus evitavit. Eandem Zoën paullo post
reginae Theophanonis obitum Augustam appellavit et dudum
concubinam uxorem legitimam duxit. Verum brevis illa felicitas
33 fuit; nam cum annum unum et octo menses in regno vixisset,
34 obiit. Sunt et aliae insidiae regi nuntiatae, quas Zautzis conso-

μηνύεται τῷ βασιλεῖ, ἣν ἐμελέτα ἐπείκτης Βασίλειος, τοῦ Ζαούτζη τυγχάνων ἀνεψιός. ὃς τὸ ἀπόρρητον τῷ ἐκτομίᾳ Σαμωνᾷ ἐκοι- 35 *νώσατο, ὅρκοις πρότερον βεβαιώσαντι ὡς ἀνέκφορον τηρήσει τὸ λεχθησόμενον. ἦν δὲ ὁ Σαμωνᾶς ἐξ Ἀγαρηνῶν καὶ μαθὼν* 36 D *τὸ κατὰ τοῦ κρατοῦντος μελέτημα εὐθὺς ἐκφέρει πρὸς αὐτὸν τὸ μυστήριον. καὶ κατεσχέθη μὲν ὁ Βασίλειος καὶ οἱ συνί-* 37 *στορες τοῦ βουλεύματος, ὁ δὲ Σαμωνᾶς ἐτιμήθη πρωτοσπαθάριος καὶ ᾠκειώθη τῷ βασιλεῖ.*

Ἠγάγετο δὲ καὶ τρίτην ὁ Λέων εὐνέτειραν, ἡ Εὐδοκία μὲν 13
D IV 42 *ἐκαλεῖτο, ἐκ δὲ τοῦ Ὀψικίου τὸ γένος εἷλκε καὶ τὴν ὥραν ἦν περιττή. ἀλλὰ καὶ αὕτη βραχύ τι συνεζήκει τῷ βασιλεῖ· συλλα-* 2 *βοῦσα γὰρ καὶ πρὸς τῷ τεκεῖν γενομένη σὺν τῷ τεχθέντι ἀπέθανεν. ἔχων δὲ δι' ἐφέσεως οὗτος ὁ αὐτοκράτωρ παῖδα ἐσχη-* 3 *κέναι, μᾶλλον μέντοι καὶ κεχρηματισμένον ἐσχηκὼς τοῦτο (ἦν* 4 PII 178 A *γὰρ ἐραστὴς σοφίας παντοδαπῆς καὶ αὐτῆς δῆτα τῆς ἀπορρήτου, ἣ δι' ἐπῳδῶν μαντεύεται τὰ ἐσόμενα, καὶ περὶ τὰς τῶν ἀστέρων δ' ἐσχολάκει κινήσεις καὶ τὴν ἐκ τούτων ἀποτελεσματικὴν ἐπιστήμην μετήρχετο, καὶ εὕρισκεν ὡς ἕξει παῖδα τῆς βασιλείας*

9 *ὅτι καὶ τρίτην γαμετὴν ὁ Λέων ἠγάγετο* CE

1 *μην.*] *ἐγνώσθη* O *ὁ πήκτης* (*πλήτησ* D, *πήκτης* D_w) *ἐμελέτα* O *ὁ πήκτης* AR (v. ann. anteced.) wp*Di*, corr. *B*-*W* coll. Cedr. (Scylitz.) II p. 258, 10, G. M. p. 777, 12, L. G. p. 271, 20 2 *ὑπάρχων* Ewp *ἐκταμία* D, corr. D_w *ἐκοινώσατο* Rwp*Di*, om. A 3 *τηρήση* AD, corr. D_w 4 *ῥηθησόμενον* DEwp 5 *αὐτὴν* E 7 *τοῦ βουλ.—πρωτοσπαθάριος* om. D, suppl. D_w 9 *ἢν* D, corr. D_w 12 *πρὸς τὸ* DE 14 *κεχρησμένον* (*μϊ* suprascr.) B 17 *δ'* om. D *δ' ἐσχολάκει*] *διεσχολάκει* B *τὴν* Rwp*Di*, om. A 18 *ἐπισήμην* D, corr. D_w

brinus, epeicta Basilius, struebat. Is arcanum cum spadone 35 Samona communicavit, quem iureiurando prius adegerat, ne id, quod auditurus esset, effutiret. Erat autem Samonas Agarenus 36 et cognitum in imperatorem facinus ei statim indicat. Sic Basi- 37 lius et conscii consilii comprehenduntur, Samonas protospatharii honorem et regis familiaritatem adipiscitur.

13. Leo tertiam quoque uxorem duxit, Eudociam, genere Opsicianam, excellenti forma. Neque vero illa cum rege diu 2 vixit; nam cum uterum ferret, inter parturiendum una cum fetu edito periit. Verum imperator suscipiendae prolis avidus, prae- 3 sertim cum id a vatibus ei praedictum esset (fuit enim doctri- 4 narum omnis generis amator et arcanae quoque illius, quae per incantationes futura divinat, versatus etiam in doctrina de motibus siderum eorumque effectibus, in qua inveniebat se filium

5 διάδοχον) καὶ τετάρτην ἄγεται γαμετὴν τὴν Καρβωνοψῖναν Ζωήν.
6 οὐκ εὐθὺς μέντοι αὐτῇ τοῦ τῆς βασιλείας μετέδωκεν ἀξιώματος,
ἀλλ' ἐφ' ἱκανὸν αὐτῷ συμβιοῦσα ἦν ἀταινίωτος, μέχρις οὗ
παιδίον ἐξ αὐτῆς ἐτέχθη τῷ βασιλεῖ, ὃ παρὰ τοῦ πατριάρχου
7 Νικολάου τοῦ θείου κατηξιώθη βαπτίσματος. τοῦ γὰρ Ἀντω-
νίου τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἐπιζήσαντος ἔτη ***
B καὶ μεταθεμένου τὴν ζωήν, ὁ μυστικὸς Νικόλαος πατριάρχης
8 κεχειροτόνητο. μετὰ δὲ τὸν τοῦ υἱοῦ αὐτοῦ τοκετόν, ὃν Κων-
σταντῖνον ὠνόμασεν ὁ βασιλεύς, καὶ τὴν σύνευνον αὐτοῦ ἀνη-
9 γόρευσε. διὰ γοῦν τὸν τέταρτον γάμον ἀφώριστο παρὰ τοῦ
10 πατριάρχου ὁ Λέων. τιμῶν δὲ τὴν πρώτην αὐτοῦ γαμετὴν
τὴν μακαρίαν Θεοφανὼ τέμενος ἀνήγειρεν εἰς ὄνομα ἐκείνης
ἔγγιστα τοῦ τῶν ἁγίων ἀποστόλων ναοῦ, ἐν ᾧ καὶ τὸν νεκρὸν
11 ἐκείνης κατέθετο. καὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Λαζάρου ναὸν
ἐδείματο ἕτερον, εἰς ὃν καὶ τὸ ἱερὸν ἐκείνου σῶμα ἀπεθησαύ-
ρισεν ἐκ τῆς Κύπρου μετενεχθέν, ἀλλὰ μὴν καὶ τὸ τῆς Μα-
C 12 γδαληνῆς Μαρίας. ἀσχολουμένων δὲ ταῖς οἰκοδομαῖς τῶν πλωί-
μων καὶ τοῦ στόλου μὴ πλέοντος, τὸ τῶν Ἀγαρηνῶν ναυτικὸν D IV 4

1 ὅτι καὶ τετάρτῃ ὡμίλησε γυναικί CE   5 περὶ πατριαρχῶν CE

1 καρβωνοψίναν ARwDi, Καρβωνυψίναν p*, corr. B-W   2 αὐτῇ EwpDi, αὐτὴν AO   τοῦ om. w*p invitis AR   ἠξίωσεν O   3 οὗ] οὖν E   6 ἐπιζητήσαντος D, corr. Dw   ***] lac. VI fere litt. R, nulla lac. AC, ⟨δύο μόνα⟩ B-W, v. Gedeonem πατριαρχ. πίνακες p. 294 s.   9 τὴν om. w*p invitis AR   12 ἀνήγειρεν post ἐκείνης O   14 αὐτῆς Ewp   ἀπέθετο O Cedr. (Scylitz.) II p. 260, 8   λαζάρου ναὸν RwpDi, λα ναὸν A

5 habiturum regni successorem) quartam etiam uxorem ducit Car-
6 bonopsinam Zoën; quam non statim honore regio dignam iudi-
cavit, sed diu sine diademate habuit, donec filiolum pareret,
7 qui a patriarcha Nicolao sacro baptismate est initiatus. Nam
cum Antonius sede Cpolitana per annos *** gubernata decessisset,
8 mysticus Nicolaus patriarcha est designatus. Rex post filii par-
tum, cui Constantini nomen indidit, coniugem etiam suam Augu-
9 stam appellavit. Sed ob quartas nuptias a patriarcha Leo censura
10 ecclesiastica est notatus. Sed nomine beatae Theophanonis, pri-
mae coniugis, honoris ergo aedem proxime templum sanctorum
11 apostolorum exstruxit in eaque illius corpus reposuit. Condidit
idem et aliam aedem S. Lazari nomine, in qua cum sacrum eius
corpus e Cypro translatum est, tum etiam Mariae Magdalenae.
12 Cum autem nautis aedificando impeditis classis vacaret, Agare-

τὸ Ταυρομένιον ἐξεπόρθησε καὶ τὴν νῆσον κατέσχε Λῆμνον,
καὶ πολλὴ τῶν ἀνθρώπων ἐν αὐτοῖς συνέβη φθορά.
Προόδου δὲ κατὰ τὴν πεντηκοστὴν γενομένης τοῦ βα- 13
σιλεύοντος εἰς τὸν τοῦ ἁγίου Μωκίου ναὸν κατὰ τὸ ἔθος ὁ
βασιλεὺς οὗτος ἐποιήσατο τὴν προέλευσιν· καί τις ἤδη ταῖς 14
κιγκλίσι τοῦ θυσιαστηρίου τοῦ αὐτοκράτορος πλησιάζοντος ἐξώρ-
μησεν ἐκ τοῦ ἄμβωνος βάκτρον μετὰ χεῖρας ἔχων βαρύτατον
καὶ κατὰ τῆς βασιλικῆς ἐπήνεγκεν αὐτὸ κεφαλῆς· καὶ συν- 15
έτριψεν ἂν αὐτήν, εἰ μὴ τῇ ἠωρημένῃ λυχνίᾳ προσαράξαν τὸ
βάκτρον ἀφῄρητο ταύτῃ τῆς καταφορᾶς τὴν σφοδρότητα. τέως 16 D
δ' οὖν αἷμα τῆς τοῦ βασιλέως κεφαλῆς καταρρέον θόρυβον
τοῖς ἄρχουσιν ἐνεποίησεν· ὅτι δ' οὐ παρῆν ἐκεῖ Ἀλέξανδρος ὁ 17
τοῦ βασιλέως αὐτάδελφος, ὑπόληψις παρὰ τοῖς πλείοσιν ἐπε-
κράτησε τῆς ἐπιβουλῆς αὐτὸν μὴ εἶναι ἀμέθεκτον. ὁ δὲ τὸ 18
τόλμημα ποιήσας βασάνοις ὑποβληθεὶς καὶ μηδένα μηνύσας
συνίστορα χεῖρας ἀπετμήθη καὶ πόδας καὶ τέλος παρεδόθη W III 144
πυρί. ὁ δὲ μοναχὸς Μάρκος ὁ τὸ τετρᾳῴδιον τοῦ μεγάλου 19
σαββάτου ἀναπληρώσας ἔφη παρὼν πρὸς τὸν βασιλέα "τοῦτο

3 *ὅτι ἐν τῇ εἰς τὸν ἅγιον Μώκιον προελεύσει ἐπλήγη ὁ βασιλεὺς τὴν κεφαλήν* (*τ. κεφ. ὁ βασ.* E) CE 17 *περὶ τῆς προρρήσεως τοῦ μοναχοῦ Μάρκου* CE

1 *λήμνον* (sic) A 2 *πολὺ* D, corr. Dw *φθορᾶ* ED, corr. Dw 3 *γενομένης* Awp, *γινομένης* RDw*Di*, *γινομένου* punctis notatum D 4 post *ἔθος* add. *καὶ* Rwp 4. 5 *οὗτος ὁ βασ.* C 6 *κιγκνίσι* D 7 *μετὰ* AEwp*Di* (v. *B-W Hist. Unters. f. Förstemann* Lips. 1894 p. 5), *ἐπὶ* O 9 *προσαρράξαν* Ewp, v. ad XIII 7, 8 10 *τὸ σφοδρότατον* Ewp 10 *τέως*] *τὸ* O 12 *δὲ* C 13 *περὶ* E 18 *βασιλέα τοῦτο·* p*

norum classis Tauromenium vastavit et Lemnum insulam occupavit, quibus locis multi homines perierunt.
Rex autem cum in pentecoste in S. Mocii aedem de more 13
supplicatum iret iamque sacrarii cancellis appropinquaret, qui- 14
dam ex ambone prodiens baculum gravissimum, quem mani-
bus gestabat, regis capiti impegit; quod plane contudisset, nisi 15
fustis dependenti lychno illisus maximam vim amisisset. Proceres 16
cum sanguinem e capite regis manantem viderent, turbati sunt;
et quia frater eius Alexander illic non aderat, apud plerosque 17
suspicio invaluit eum insidiarum fuisse non expertem. Sed qui 18
id facinus ausus erat, quaestionibus adhibitus nullo conscio nomi-
nato, pedibus et manibus amputatis, in ignem est coniectus.
At Marcus monachus, qui tetraodium magni sabbati supplevit, 19
tum praesens "Rex" inquit "istud a Davide praedictum est his

προείρηται παρὰ τοῦ Δαβὶδ εἰρηκότος· 'ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.' ἴσθι οὖν, βασιλεῦ, ὡς ἀπὸ τοῦδε
P II 179 A 20 χρόνον βασιλεύσεις δεκαετῆ." καὶ ὁ λόγος ἔργον ἐγένετο· ἔθανε γὰρ ὁ Λέων μετὰ δέκα ἐνιαυτοὺς κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐπλήγη τότε τὴν κεφαλήν.
21 Ὁ ἤδη δὲ ῥηθεὶς Σαμωνᾶς παρὰ τῷ βασιλεῖ μεγάλα δυνάμενος πλοῦτόν τε δαψιλῆ περιβαλόμενος, καὶ τοῦτον λαβὼν
22 εἰς τοὺς Ἀγαρηνούς, ὅθεν ὥρμητο, ἀπεδίδρασκεν. ἀλλ' ἑάλω D IV 44
τὸν Ἅλυν διαπερῶν· ὁ δὲ εἰς τὸν ἐν Σιριχᾶ σταυρὸν ἔλεγεν
23 ἀπιέναι, τοῦτο εὐχὴν ποιησάμενος· ὃν λαβὼν Κωνσταντῖνος ὁ τοῦ Δουκὸς Ἀνδρονίκου υἱὸς εἰς τὸ Βυζάντιον ἐπανήγαγεν.
24 ὁ δὲ βασιλεὺς ἔτι τηρῶν τῷ Σαμωνᾷ τὴν πρῴην διάθεσιν ἐνετείλατο τῷ Κωνσταντίνῳ, εἰ ἐρωτηθείη ἐνώπιον τῆς συγκλήτου
B περὶ τοῦ Σαμωνᾶ, μὴ εἰπεῖν ὅτι ἀπεδίδρασκεν, ἀλλ' ὅτι εἰς
25 τὸν ἐν Σιριχᾶ ἀπήει σταυρόν. τῇ δ' ἑξῆς τῆς συγκλήτου παρούσης ἤρετο μεθ' ὅρκων ἐπαγωγῆς τὸν Κωνσταντῖνον ὁ βασιλεὺς εἰ ἔφευγεν ὁ Σαμωνᾶς· ὁ δὲ διὰ τοὺς ὅρκους ψεύσασθαι μὴ θελήσας εἶπεν ὅτι εἰς τὴν οἰκείαν πατρίδα τὴν Μελιτηνὴν

7 ὅτι ἀποδιδράσκων (ἀποδράσας E) ὁ Σαμωνᾶς κατελήφθη CE

1 προείρητο EwpDi Δαβὶδ] Psalm. 73, 3 s. 2 τοῖς ἁγίοις Psalm. l. c. 3 γοῦν Ewp ὦ β. Ewp 5 τὴν om. B 6 τὴν κεφ. τότε D 7 ῥηθεὶς] XVI 12, 35 8 περιβαλλόμενος D 11 τούτῳ w*pDi invitis AR 13 πρώτην C 16 σιρᾶχ (sic) A hoc uno loco 17 ὁ βασ. om. B Wo lat.

verbis: 'Quae hostis tuus in sancto improbe egit et qui te oderunt, in medio festivitatis gloriati sunt.' Scito igitur, rex, te ab
20 hoc tempore decem annos regnaturum." Quemadmodum dixit, ita factum est; nam Leo post decennium eo ipso die, quo caput ictus erat, est mortuus.
21 Samonas autem, de quo supra diximus, cum apud regem multum posset, cum magnis opibus fugam ad Agarenos, unde
22 ortus erat, capessit. Sed in transitu Halys captus, quamvis se
23 ex voto crucem Sirichanam adire diceret, nihilominus a Con-
24 stantino, Ducae Andronici filio, Byzantium est reductus. Cui Constantino rex, conservato pristino erga Samonam affectu, mandavit, ut coram senatu interrogatus diceret eum non cepisse
25 fugam, sed ad Sirichanam crucem peregrinatum esse. Cum autem postridie senatu praesente Constantinum iureiurando obstrictum rex rogaret, num fugisset Samonas, ille periurio refor-

ἀπῄει. ὁ βασιλεὺς δὲ τὸν μὲν Κωνσταντῖνον μετ' ὀργῆς ἀπε- 26
πέμψατο, τὸν δὲ Σαμωνᾶν μετὰ ταῦτα τῆς προτέρας ἠξίωσεν οἰκειώσεως, εἶτα καὶ πατρίκιον ἐτίμησε καὶ παρακοιμώμενον προεβάλετο· ὃς εἰς πολλὰ τῶν οὐ καθηκόντων τὸν αὐτοκράτορα 27
προεβίβαζεν, ὧν ἓν καὶ τὸ βιάσασθαι τὸν πατριάρχην δέξασθαι αὐτὸν καὶ τοῦ ἀφορισμοῦ ἀπολῦσαι. μεταπεμψάμενος οὖν τὸν 28 C
ἀρχιερέα ὁ βασιλεὺς ἐδεῖτο δεχθῆναι. ὡς δ' ἐκεῖνος ἦν ἀδυσ- 29
ώπητος, ἐκ τῶν βασιλείων αὐτίκα διαπερᾶται πρὸς τὴν Ἱέρειαν, κἀκεῖθεν πεζοποροῦντα εἰς τὸ ἐν Γαλακρήναις ἄγουσιν αὐτὸν μοναστήριον, ὃ αὐτὸς ἐδομήσατο, ἔτη προστάντα τῆς ἐκκλησίας ἕνδεκα. προεχειρίσθη δὲ πατριάρχης ὁ σύγκελλος Εὐθύμιος, 30
ἀνὴρ ἱερός, ὃς καὶ βουλόμενον τὸν βασιλέα νόμῳ θεσπίσαι ἄγεσθαι κατὰ ταὐτὸν τὸν βουλόμενον γυναῖκας δύο ἢ καὶ τρεῖς ἄχρι τεττάρων πάσῃ σπουδῇ διεκώλυσε.

Τῶν δὲ Ἀγαρηνῶν ναυσὶ τὰς τῶν Ῥωμαίων ληιζομένων 14 D
D IV 45 χώρας, ὁ βασιλεὺς Ἱμέριον τὸν λογοθέτην τοῦ δρόμου τοῦ στόλου προβαλόμενος ἀρχηγὸν κατὰ τῶν ἐκ τῆς Ἄγαρ ἀπέστειλεν,

4 ὅτι ἐξώρισε τὸν πατριάρχην Νικόλαον ὁ Λέων CE

1 ὁ δὲ βασ. C 2 γε add. post δέ BC 3 οἰκειώσεως AR, οἰκώσεως w*p 4 καθῆκον D, corr. Dw 6 ἀπολῦσαι RDi, ἀπολύσαι Awp 7 ἀδυνώπητος (sic) A 8 διαπαρᾶται D, corr. Dw (ε superscr.) ἱρίαν ARDwwpDi, ἠρίαν D, corr. B-W coll. Cedr. (Scylitz.) II p. 265, 16 et Theoph. cont. p. 371, 5 11 σύγκελος CDwp 12 βουλόμενον et βουλόμενος per dittogr. A, βουλόμενος | D, βουλόμενον RDwwpDi 13 κατ' αὐτὸν EDwwp ἢ om. BCDwwp καὶ om. E 14 ἄχρι A, ἄχρι καὶ Ewp, καὶ ἄχρι O τεσσάρων Ewp 17 προβαλλόμενος DEwp, v. ad XIV 11, 5 ἐκ om. D

midato dixit eum in patriam suam Melitenen abiisse. Constan- 26
tino igitur per iracundiam a rege dimisso, Samonas praeter veterem necessitudinem etiam patricii dignitate ornatus et cubicularius designatus imperatorem saepe impellebat, ut ab officio 27
decederet; quorum illud fuit, quod patriarcham coegit se recipere et e censura eximere. Quem cum rex arcessivisset neque 28
ulla ratione exorare posset, statim e regia in Hieriam navi trans- 29
vehendum indeque pedestri itinere in Galacrenaeum monasterium, quod ipse struxerat, transferendum curat, cum per annos XI ecclesiae praefuisset. Eius vero loco patriarcha designatus est 30
syncellus Euthymius, vir sacer, qui omni studio obstitit, ne lex a rege promulgaretur, ut cuivis liceret secundam, tertiam, quartam etiam uxorem simul ducere.

14. Cum autem Agareni Romanas provincias navibus infestarent, rex Himerium, logothetam cursus, classi praefectum con-

ἐντειλάμενος αὐτῷ καὶ τὸν Δοῦκα προσλαβέσθαι Ἀνδρόνικον.
2 *ὁ δὲ δόλιος Σαμωνᾶς ἄσπονδον ἔχων ἔχθραν κατὰ τοῦ γένους
τοῦ Δουκικοῦ ὑποτίθησί τινι τῶν φίλων τοῦ Ἀνδρονίκου δηλῶσαι αὐτῷ μὴ συμπλεῦσαι τῷ Ἱμερίῳ, ἐκκόψαι οἱ τὰ ὄμματα*
3 *μέλλοντι κατὰ βασίλειον πρόσταγμα. διὸ οὐκ ἐπείσθη τῷ Ἱμερίῳ συνελθεῖν ὁ Ἀνδρόνικος, ὅθεν καὶ μόνος ἐκεῖνος ναυμαχήσας ἐκράτησε καὶ τοῦ τῶν πολεμίων περιεγένετο ναυτικοῦ.*
4 *ἐντεῦθεν ἀπεγνωκὼς ὁ Ἀνδρόνικος συγγενεῖς τε καὶ δούλους αὐτοῦ προσλαβόμενος κατέσχε τὴν Κάβαλαν, ὀχυρόν τι φρού-*
P II 180 A 5 *ριον τοῦ Ἰκονίου οὐ πάνυ τι διακείμενον μήκοθεν. ὁ δὲ Σαμωνᾶς οὐ διέλιπε τὸν βασιλέα ἐρεθίζων καὶ εἰς ὀργὴν παρακινῶν*
6 *κατὰ τοῦ ἀνδρός. μαθὼν δ' ἐκεῖνος καὶ τὴν τοῦ πατριάρχου Νικολάου ἐκ τῆς ἐκκλησίας ἐξώθησιν καὶ πάντοθεν ἀπογνοὺς*
7 *πανοικεσίᾳ τοῖς Ἀγαρηνοῖς προσελήλυθεν. ὁ δὲ βασιλεὺς τοῦτο γνοὺς ὑπερήλγησεν, ἐναντίον ἕξειν τὸν ἄνδρα ἀνθ' ὑπερμάχου*
8 *ποιούμενος. γραφὴν τοίνυν ἐγχαράττει βασίλειον, δι' ἧς τῷ*
W III 145 *Ἀνδρονίκῳ καὶ ἀμνηστία τῶν πραχθέντων ἐπρυτανεύετο καὶ*

2 *ὅτι ἐξ ἐπιβουλῆς τοῦ Σαμωνᾶ ὁ Δοὺξ Ἀνδρόνικος τοῖς Ἀγαρηνοῖς προσελήλυθεν* C

1 *δούκα* B, *δοῦκαν* D, *δούκαν* Ewp 3 *δοκικοῦ* D, corr. D_w 4. 5 *ἱμερίω* (sic) A 5 *μέλλοντι* om. D, suppl. D_w, *μελλόντι* w*p 9 *κάβαλαν* ARwp*Di* Sym. mag. p. 710, 15, cf. G. M. p. 789, 15, L. G. p. 281, 8, *καβάλαν* Theoph. cont. p. 372, 11, Cedr. (Scylitz.) II p. 267, 1, Th. M. p. 196 *τι*] *τε* B 10 *τι* om. O 11 *διερεθίζων* D 13 *ἐξώθησιν* ante *ἐκ* B 14 *προσελήλυθεν· ὁ δὲ* AE$D_w$wp, *προσελήλυθε· καὶ ὁ* O 16 *ποιούμενος* C *ἐγχαράσσει* Ewp*Di* 17 *καὶ ἀμνηστία τ. πραχθ. ἐπρυτανεύετο* AE$D_w$wp, *ἐπρυτανεύετο· καὶ τ. πραχθ. ἀμνηστία* O

tra illos misit mandavitque, ut etiam Andronicum Ducam assu-
2 meret. Verum dolosus ille Samonas odio implacabali in familiam Ducaenam permotus quendam ex Andronici amicis subornat, qui eum moneat, ne cum Himerio proficiscatur, qui ei iussu regio
3 oculos sit effossurus. Itaque Himerium comitari noluit Andronicus et, cum ille solus proelio victor hostium classem subegisset,
4 desperatis rebus assumptisque cognatis et servis Cabalam, ca-
5 stellum munitum non procul Iconio dissitum, occupat. Cum autem Samonas regem irritare et contra Andronicum inflammare
6 non desineret, ille, postquam patriarcham Nicolaum ecclesia pulsum esse cognovit, spe omni destitutus cum tota familia ad Aga-
7 renos se confert. Quo rex cognito supra modum doluit veritus,
8 ne illum hostem haberet, quo usus erat defensore. Litteras igitur scribit, quibus Andronico et delictorum venia concedebatur

ὑπονόστησις ἐπετρέπετο καὶ πολλῶν δόσις ἐπήγγελτο ἀγαθῶν.
ταύτην ἐμβαλόντες κηρῷ τὴν γραφὴν καὶ λαμπάδι τὸν κηρὸν 9
ἀπεικάσαντες Σαρακηνῷ τῶν αἰχμαλώτων ἑνὶ τῆς εἱρκτῆς ἐκ- B
βληθέντι ἐγχειρίζουσιν, ἐντειλάμενοι τῷ Ἀνδρονίκῳ δοῦναι αὐτήν.
τοῦτον δὴ τὸν Ἀγαρηνὸν ὁ Σαμωνᾶς μετακαλεσάμενος ἐν ἀπορ- 10
ρήτοις φησὶ πρὸς αὐτόν "οἶδας ὅτι τὸν ὄλεθρον τῆς Συρίας
ὅλης φέρεις ἐν ταῖς χερσίν; ἵνα γοῦν καὶ τὴν πατρίδα σώσῃς 11
D IV 46 καὶ τοὺς ὁμογενεῖς, τὸν κηρὸν τοῦτον ἐγχείρισον τῷ οὐζήρ."
ὁ δὲ πεποίηκεν ὡς παρήγγελτο· καὶ γνόντες οἱ τῆς Ἄγαρ τὴν 12
δύναμιν τῆς γραφῆς καὶ τὸν Ἀνδρόνικον δεσμοῦσι καὶ πάντας
τοὺς σὺν αὐτῷ. ὁ μὲν οὖν Ἀνδρόνικος ἐν τοῖς δεσμοῖς τὸν 13
βίον κατέλυσε, τινὲς δὲ τῶν σὺν αὐτῷ τὴν ἐκ τῶν δεσμῶν μὴ C
στέγοντες κάκωσιν τὴν πίστιν ἑαυτῶν ἐξωμόσαντο. ὁ Κων- 14
σταντῖνος δὲ καί τινες τῶν σὺν αὐτῷ τῆς εἱρκτῆς ἐκφυγόντες
πρὸς τὰ Ῥωμαίων ἀπῄεσαν καὶ τοὺς καταδιώκοντας αὐτοὺς

5 οἷα ἐμηχανᾶτο (ἐμηχανίσατο E) ὁ Σαμωνᾶς κατὰ τοῦ Ἀνδρονικοῦ τοῦ Δουκός (δούκα E) CE   13 ὅτι διέδρα ὁ (om. C) Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου υἱός· καὶ ὅσα ἐλθόντι αὐτῷ ὁ βασιλεὺς προεφοίβασεν (-ε E) CE

1 δόσις ἐπήγγελτο ἀγαθῶν AED$_w$wp, ἀγαθῶν ἐπηγγέλλετο (ἐπετρέπετο D) παροχή O   3 ἐκβληθέντι ante τῆς Owp   4 ἐντειλάμενοι RwpDi, ἐντειλάμενος A   5 δὲ D   6 σιρίας D, corr. D$_w$ 7 χερσίν Rwp, χερσὶν ex χερσὶ σου corr. A, χερσί σου Di   πριδάσώσις D, τὴν πατρίδα περισώσῃς D$_w$ περισώσῃς ED$_w$wp   8 ἐγχίρισον punctis notatum D   οὔζη .. D, οὔζὴρ (sic) D$_w$ post οὐζὴρ add. οὕτω γὰρ ὁ παρ' ᾧ (ὅπαρ punctis notatum D, corr. D$_w$) ἦν ὁ ἀνδρόνικος ὠνομάζετο (ὀνομάζετο D, corr. D$_w$) Owp   10 καὶ prius om. D   τοῦ ἀνδρονίκου D, corr. D$_w$ 11 δόμοις D, corr. D$_w$ 12. 13 μαστίγοντες D, μὴ στέγοντες corr. D$_w$ 13 στέργοντες Bp   ἑαυτῶ D, corr. D$_w$ 13. 14 δὲ κωνστ. ED$_w$wp   14 ἐν D, σὺν corr. D$_w$ ἐκφυγόντες AED$_w$wp, ἀποδράντες R, ἀποδράσαντες D   15 ὅρος D, πρὸς corr. D$_w$ ἀπίεσαν D, corr. D$_w$

et reditus permittebatur et multa beneficia promittebantur. Eas 9
litteras in ceram candelae instar effictam coniectas Saraceno
cuidam e carcere educto tradunt, Andronico reddendas. Cui 10
Samonas arcessito clam "Scisne" inquit "te totius Syriae inter-
itum gestare in manibus? Ut igitur patriam conserves et popu- 11
lares, ceram istam uzeri trade." Facit ille, ut iussus erat; Aga- 12
reni autem cognita litterarum sententia Andronicum cum omnibus
suis in vincula coniciunt, in quibus ille obiit. Quidam vero ex 13
illis carceris aerumnas non ferentes fidem abiurarunt. At Con- 14
stantinus et quidam cum ipso carcere elapsi in Romanorum fines,

15 Ἀγαρηνοὺς γενναίως τρεψάμενοι διεσώθησαν. ὃν ὁ βασιλεὺς
ἐδέξατό τε περιχαρῶς καὶ ἐδεξιώσατο μεγαλοπρεπῶς καὶ δια-
16 φερόντως ἐτίμησεν· εἶτα καὶ πρὸς αὐτὸν ἔφη "μὴ ἀπατάτω σε,
Κωνσταντῖνε, τὸ ὄνομα, μηδ' οἴου τῆς βασιλείας τυχεῖν, ὡς
Κωνσταντίνου Ῥωμαίων μέλλοντος ἄρξειν· ἴσθι γὰρ ἀκριβῶς
17 τοῦτον εἶναι τὸν υἱὸν τὸν ἐμόν. σὺ δὲ εἰ μὲν ἣν ἔλαχες Σπάρταν
κοσμεῖς, ἔσται σοι εὖ· εἰ δὲ νεωτερίσεις καὶ τυραννίδι ἐπιχει-
ρήσεις, ἔσο βεβαίως εἰδὼς ὡς διὰ τῆσδε τῆς πύλης (τὴν πρὸς
D δύσιν οὖσαν τοῦ χρυσοτρικλίνου δείξας αὐτῷ) ἡ κεφαλή σου τοῦ
λοιποῦ σώματος χωρὶς εἰσαχθήσεται." ὃ καὶ γέγονεν ὕστερον.
18 Ἐκ δὲ Μελιτηνῆς ἐλθόντων τινῶν, ἐν οἷς ἦν καὶ ὁ τοῦ
Σαμωνᾶ πατήρ, ὑπεδέξατο τούτους ἐντίμως ὁ βασιλεὺς καὶ εἰς
τὴν μεγάλην ἐκκλησίαν μὴ δεόντως ἀπίστους ὄντας εἰσήγαγεν.
19 ἰδὼν δὲ ὁ τοῦ Σαμωνᾶ πατὴρ ἣν εἶχεν ὁ υἱὸς αὐτοῦ τιμὴν
ἐν τοῖς βασιλείοις, καὶ τὸν πλοῦτον ὃν περιέκειτο, ἤθελε συν-
20 διάγειν αὐτῷ. ἐκωλύθη δὲ παρ' ἐκείνου, τὴν οἰκείαν θρησκείαν
τηρεῖν συμβουλεύοντος καὶ εἰς τὴν πατρίδα ἐπανελθεῖν· "εἰ δὲ
καὶ αὐτός" ἔφη "τύχω καιροῦ, ὑπονοστήσω πρὸς σέ."

1 ἄγαρ νοῖς D, corr. D_w γεννᾶ ὡς D, corr. D_w 2 τε om. C δεξιώσατο D, corr. D_w 2. 3 ἐδεξιώσατο—ἐτίμησεν] De chiasmo v. ad XIII 2, 6 3 ἐτίμασεν D, corr. D_w ἀπατάσω w*p, ἀπατάτωσαν D, ἀπατάτω σε D_w 4 μὴ δὸ ἴου D, corr. D_w 5 ἄρξαι Ewp 6 Σπάρταν] v. Eurip. fr. 722 Dind., σπάρτοις E 7 σοι om. C νεωτερίσας D, corr. D_w 8 ἔσω p* 10 εἰςαχθ. χωρίς C 11 μελιτινῆς Ewp 12 ὑπεδέξατο τούτους ἐντίμως ὁ βασιλεὺς ARwp, ἣν εἶχεν ὁ υἱὸς αὐτοῦ ἐν τοῖς βασιλείοις τιμὴν (comma add. D_w) καὶ τὸν πλοῦτον (comma add. D_w) ὃν περιέκειτο (comma add. D_w) ἰδὼν (duo puncta add. D_w) συνδιάγειν ἤθελεν αὐτῷ· ὁ γὰρ βασιλεὺς (comma add. D_w) ἐντίμως αὐτοὺς ὑπεδέξατο (comma add. D_w) D *Wo* lat. 13 δέοντα D, corr. D_w 14 ἰδὼν—16 αὐτῷ om. D 16 παρ' ἐκείνου om. D τὴν οἰκ. om. C 18 πρός σε B^swp

15 persequentibus Agarenis fortiter profligatis, evaserunt. Eum rex
et comiter excepit et magnifice donavit et affecit exquisitis hono-
16 ribus. Tum etiam ei dixit: "Ne te deceperit nomen, Constantine,
tuum neve putaris te rerum potiturum esse, quod Constantinus
Romanis imperet; certo enim scito filium hunc meum esse illum.
17 Quodsi tu Spartam tuam ornaris, bene tibi erit; sin rebus novis
studueris et tyrannidem affectaris, noli dubitare, quin per hanc
portam (demonstrata occidentali aurei triclinii porta) caput tuum
absque reliquo corpore sit transiturum." Quod postea factum est.
18 Cum Samonae pater cum quibusdam aliis Melitene venisset,
rex eos honorifice exceperat et decori oblitus homines profanos
19 in magnam ecclesiam introduxerat. Samonae vero pater, viso
20 filii honore et opulentia, cum eo vivere cupiens a filio prohibi-

D IV 47 *Τῆς δ' ἑορτῆς τῆς πεντηκοστῆς ἐνστάσης ἔστεψε τὸν υἱὸν* 21
αὐτοῦ ὁ βασιλεὺς καὶ ἀνηγόρευσε βασιλέα. ἐκτομίαν δ' ἔχων 22
θεράποντα ὁ μυσαρὸς Σαμωνᾶς Κωνσταντῖνον ὀνομαζόμενον, P II 181 A
ἐκ δὲ Παφλαγονίας γενόμενον, τῇ δεσποίνῃ τοῦτον δέδωκεν
εἰς ὑπηρεσίαν. ἐπεὶ δὲ τῇ βασιλίσσῃ καὶ αὐτῷ τῷ κρατοῦντι 23
λίαν ὁ Κωνσταντῖνος ᾠκείωτο, εἰς βασκανίαν ὁ βέβηλος ἠρέ-
θιστο Σαμωνᾶς καὶ πρὸς τὸν βασιλέα κατεῖπεν αὐτοῦ ὡς ἐρω-
μένου τῇ βασιλίσσῃ. ζηλοτυπήσας οὖν ὁ Λέων ἀποκαρῆναι 24
τοῦτον προσέταξε μοναχόν· καὶ μετ' οὐ πολὺ ἄγει τοῦτον καὶ
ἀποδυθῆναι κελεύσας τὰ μοναχικὰ ἄμφια καὶ κοσμικὴν περι-
βαλέσθαι στολὴν μᾶλλον ἢ πρότερον αὐτὸν ᾠκειώσατο. οὐκ
ἀνεκτὰ δ' ἦσαν ταῦτα τῷ Σαμωνᾷ. γράφει τοίνυν λοίδορόν 25
τι γραμμάτιον διά τινος τῶν αὐτοῦ, καὶ τοῦτο ῥιπτεῖ ἔνθα ὁ B
βασιλεὺς διελεύσεσθαι ἔμελλεν· ὅπερ εὑρὼν ἐκεῖνος καὶ ἀνα- 26
γνοὺς ἤλγησέ τε καὶ τὸν πεποιηκότα ἐζήτει. εἷς οὖν τις τῶν 27
συνειδότων τὴν πρᾶξιν ταύτην τῷ Σαμωνᾷ τοῦτον εἶναι τὸν
ἐργάτην τοῦ λοιδόρου βιβλίου τῷ κρατοῦντι ἐδήλωσεν. ἐκλεί- 28

1 *ὅτι ἔστεψεν ὁ Λέων τὸν οἰκεῖον υἱόν* CE 5 *ὅσα κατεῖπεν ὁ Σαμωνᾶς τοῦ ἐκτομίου Κωνσταντίνου· καὶ ὅσα εἰς ἐκεῖνον ἐγένετο* CE

1 *δ'* om. C *ἑορτῆς δὲ* BD 1. 2 *λέων ὁ αὐτοκράτωρ τὸν οἰκεῖον υἱὸν* O 2 *ἀνηγόρευσεν αὐτὸν βασ.* Ewp *δὲ* E 5 post *δὲ* add. *καὶ* Rwp 8 *βασιλίσσῃ* D, *βασιλίσσης* D_w *τοίνυν* O 9 *ἄγει* AE, *ἀνακαλεῖται* Owp, v. XVI 15, 1 9. 10 *καὶ ἀποδυθῆναι*] *ἐκδοθῆναι* D, *ἐκδυθῆναι* D_w 10 *κελεύει* C *α αρια* (punctis notatum) D, *ἄμφια* corr. D_w 13 *τοῦτο* om. *Di*, Haasii annotatione ad vs. 15 pertinente huc perperam relata *ῥίπτει* D 15 *ἠλγήσετε* D, corr. D_w ante *ἐζήτει* add. *τοῦτο* Owp*Di* (v. ad vs. 13) 17 *ἐκλίψεως* D, corr. D_w

tus est suadente, ut suam religionem conservaret atque in patriam rediret, quod et ipse per occasionem facturus esset.

In festo pentecostes filium suum rex corona ornavit regem- 21
que appellavit. Ceterum odiosus ille Samonas eunuchum mini- 22
strum suum Constantinum ex Paphlagonia oriundum dominae
ad ministerium tradidit; qui cum et reginae et ipsi imperatori 23
percarus esset, profanus Samonas invidia stimulatus illum apud
regem detulit, quasi ab regina amaretur; quem Leo ex zelotypia 24
pro monacho tonderi nec multo post revocari ac monastico habitu
exuto civilem vestem resumere iussit, eoque familiarius etiam
quam prius usus est. Id Samonae intolerabilius visum. Curat 25
igitur per suorum quendam libellum conviciis plenum scriben-
dum eumque abicit, qua rex erat transiturus; quo ille invento 26
et lecto doluit auctoremque requisivit. Unus igitur ex eius rei 27
consciis Samonam libelli famosi auctorem esse regi indicat. Cum 28

ψεως μέντοι τότε τῆς σελήνης συμβάσης, τὸν μητροπολίτην
29 Συνάδων ὁ βασιλεὺς μετεπέμψατο, περὶ ταύτης πευσόμενος. ὃν
ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν ἤρετο περὶ τῆς ἐκλείψεως· κἀ-
κεῖνος ἔφη ὅτι "σὸν τὸ τῆς σελήνης πάθημα σημαίνει δυστύ-
W III 146 χημα· εἰ δὲ τοῦ Ἰουλίου τρισκαιδεκάτη παρελεύσεται πρὸ τοῦ
C 30 παθεῖν, ἐκφεύξῃ καὶ σὺ τὸ δυστύχημα." εἶτα καὶ πρὸς τοῦ
βασιλέως ὁ Συνάδων ἐρωτηθεὶς ἀπεκρίνατο ὡς "εἰς τὸ δεύ-
31 τερον μετὰ σὲ πρόσωπον ἐνσκήψει ἡ κάκωσις." δεύτερον δὲ
πρόσωπον ὁ βασιλεὺς τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀλέξανδρον ἔκρι-
νεν, ἀλλ' ἐσφάλη περὶ τὴν κρίσιν· ἔδει γάρ ποτε τῷ κακίστῳ
32 Σαμωνᾷ γενέσθαι κακῶς. μαθὼν οὖν ὡς ἐκεῖνος ἦν ὁ τοῦ D IV 48
λοιδόρου βιβλίου πατήρ, ἐξωθεῖ μὲν τῶν βασιλείων αὐτὸν καὶ
ἀποκείρει καὶ περιγραπτοῖς ὁρίοις καθείργνυσι. καὶ ταῦτα γέ-
33 γονε, μήπω τῆς τρισκαιδεκάτης τοῦ Ἰουλίου παραρρυείσης. παρα-
κοιμώμενος δὲ ἀντὶ τοῦ Σαμωνᾶ ὁ παρ' ἐκείνου βασκαινόμενος
D Κωνσταντῖνος καὶ ἐπιβουλευόμενος προκεχείριστο, ᾧ καὶ μονὴν
ὁ βασιλεὺς ἐδομήσατο ἐν ταῖς Νοσσιαῖς.

11 ἐξώθησις ἐκ τῶν βασιλείων τοῦ Σαμωνᾶ CE

2. 3 ἀλλ' ὁ D, ὃν ὁ corr. D$_{w}$ 3. 4 ἔφη δὲ κἀκεῖνος E 4 σὸν] τὸν w*p πάθος ED$_{w}$wp πάθημα σημ. om. C 5 post δὲ add. ἡ B^{s}ED$_{w}$wp ἰουλίου ACwp, ἠλίου D, ἡλίου BED$_{w}$, v. ad vs. 14; videtur Zonaras errore pro ἰουνίου scripsisse ἰουλίου, v. Cedr. (Scylitz.) II p. 272, 12, Theoph. cont. p. 376, 12, Sym. mag. p. 713, 3, G. M. p. 793, 16, L. G. p. 284, 10, Th. M. p. 199, Glyc. p. 557, 3. post παρελ. add. D$_{w}$ σύνοδος post τοῦ add. σε Rwp 6 ἐκφεύξει Dwp 8 μετά σε B^{s}D$_{w}$wp 11 σαμωνᾷ om. D *Wo* lat. post οὖν add. ὁ λέων Rwp 12 αὐτῶν C 14 ἠλίου D, ἡλίου BE, v. ad vs. 5 15 δὲ om B

autem defectus lunae tum fuisset, metropolitam Synadensem rex
29 de eo quaesiturus arcessit; quem cum Samonas de illo defectu
privatim sciscitaretur, "Tuum" inquit "infortunium portendit
ista lunae affectio. Si vero XIII. Iulii dies ante tuam calamitatem
30 praeterierit, et tu infortunium evitabis." Deinde a rege quoque
interrogatus Synadorum episcopus respondet malum istud in per-
31 sonam ab illo proximam grassaturum. Personam autem proxi-
mam rex Alexandrum fratrem iudicabat, sed perperam; nam
32 Samonae, homini illi pessimo, tandem male esse oportebat. Ubi
igitur cognovit eum esse famosi libri patrem, et regia exigit et
rasum certis finibus includit; idque accidit ante diem XIII. Iulii.
33 Constantinus, cui Samonas et invidebat et insidiabatur, illius loco
cubicularius est designatus eique monasterium in Nossiis est ex-
structum.

Νοσήσας δὲ ὁ Λέων κοιλιακὸν νόσημα τοσοῦτον κατειρ- 34
γάσθη τὴν δύναμιν ὡς μηδὲ δυνηθῆναι διαλεχθῆναι τῇ συγ-
κλήτῳ περὶ νηστείας τὴν συνήθη διάλεξιν, ἣ καλεῖται σελέντιον.
ὅμως ὀλίγα τινὰ ταύτῃ διαλεχθεὶς καὶ ἀξιώσας αὐτοῦ μεμνῆ- 35
σθαι καὶ πίστιν εἰς τὴν αὐτοῦ σύμβιον τηρεῖν καὶ εἰς τὸν υἱόν,
καὶ τελευταίαν ταύτην προσλαλιὰν πρὸς αὐτὴν ποιεῖσθαι εἰπὼν
οὐκ αὐτίκα ἐξέλιπεν, ἀλλὰ μέχρι τοῦ Μαΐου διήρκεσε. τότε 36
δὲ τελευτῶν τὴν αὐταρχίαν τῷ ἀδελφῷ κατέλιπεν Ἀλεξάνδρῳ
καὶ τὸν υἱὸν αὐτῷ παραδέδωκεν, ἀξιώσας ἐπιμελεῖσθαι αὐτοῦ
καὶ ἀνάγειν βασιλικῶς καὶ αὐτοκράτορα καταλιπεῖν· ὅν, φασί, 37
βλέπων ἐρχόμενον πρὸς αὐτὸν ἤδη ἐκλείπων, φάναι "ἴδε ὁ P II 182 A
κακὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας." ἐβασίλευσε δὲ ὁ 38
Λέων ἔτη εἴκοσι καὶ πέντε ἐπὶ μησὶ τισίν.

Ἀλέξανδρος δὲ ἅμα τε τοὺς πόδας ἤρεισε τῇ ἀρχῇ καὶ 15
ἅμα τὸν πατριάρχην Νικόλαον ἐκ Γαλακρηνῶν ἀγαγὼν εἰς τὸν
τῆς Κωνσταντινουπόλεως θρόνον ἀνήγαγε τὸ δεύτερον, κατ-

1 *τελευτὴ τοῦ βασιλέως Λέοντος* CE 14 *βασιλεία Ἀλεξάνδρου τοῦ* (om. E) *ἀδελφοῦ τοῦ βασιλέως* (om. ACD) *Λέοντος* (*τοῦ ἀδ.—Λέοντος* om. B) AR

2 post *συγκλ.* add. asteriscum Dw 6 *προςλαλίαν* p* *εἰς* O 7 ante *οὐκ* et post *διήρκεσε* signa orationis incipientis vel finitae ponit *Di* 8 *τὴν αὐταρχίαν* Rwp*Di*, *τῇ αὐταρχία* A *καταλέλοιπεν* O 9 *αὐτῷ*] *αὐτοῦ* DEwp 10 *αὐτοκράτορα* A, *αὐτῷ τὸ κράτος* Rwp *φασί* om. BCEwp 11 *ἤδη ἐκλίπων* (corr. *Di*) A, *ἐν τῷ* (om. E) *ἤδη ἐκλείπειν* Rwp *φάναι* AD, *ὥς φασιν ἔφη* Rwp 12 *τοὺς* om. O, suppl. Dw 13 *τισίν* A, *τρισὶν* Rwp*Di*, *τρισὶ* D, v. Theoph. cont. p. 353, 1, G. M. p. 766, 1, L. G. p. 262, 14, Th. M. p. 183 14 *τε* om. B *τῷ ἄρχειν* D, corr. Dw 15 post *ἐκ* add. *τῶν* Bwp 16 *ἀναγάγετο* D, *ἀνήγαγε τὸ* corr. Dw ante *τὸ* perperam distinxerunt p*Di*

Rex autem coeliaco morbo laborans viribus ita exhaustis 34
fuit, ut de ieiunio apud senatum de more orationem, quae ap-
pellatur silentium, habere non posset. Pauca tamen est cum 35
senatu locutus petiitque, ut patres conscripti sui memores con-
iugi filioque suo fidem servarent; quamvis autem diceret se eos
nunc postremo affari, non tamen statim defecit, sed ad Maium
usque vixit. Tum vero moriens imperium fratri Alexandro reli- 36
quit eumque oravit, ut filium sibi traditum curaret regaliterque
educato imperium relinqueret. Quem cum iam moribundus ad 37
se venire vidisset, fertur dixisse: "Ecce infaustum tempus post
illos XIII menses." Regnavit annos XXV et aliquot menses. 38

15. Alexander initio imperio patriarcham Nicolaum statim
e Galacrenis in sedem Cpolitanam reduxit, deturbato Euthymio

αγαγὼν τὸν Εὐθύμιον καὶ ἐπὶ βήματος τὴν τούτου ποιήσας καθ-
αίρεσιν, ἐνυβρισάντων εἰς τὸν ἄνδρα πολλὰ τῶν προσκειμένων
2 τῷ Νικολάῳ, εἶτα καὶ ὑπερόριον ποιήσας αὐτόν. αὐταρχήσας
δὲ ὁ βασιλεὺς οὑτοσὶ οὐδὲν ἐοικὸς εἰργάσατο βασιλεῖ, ἀλλὰ τρυ- D IV 49
B φαῖς καὶ θήραις καὶ ἀσελγείαις ἐξέδωκεν ἑαυτόν, τὰ δὲ τῆς
βασιλείας καὶ κοινὰ πράγματα ἀνθρώποις ἀνέθετο ἀγύρταις
καὶ τοῖς ἐκ τριόδων, οὓς πρὸ τῆς μοναρχίας ἐπιρρήτων εἶχε
3 πράξεων κοινωνούς, ὧν ἕνα Βασιλίτζην λεγόμενον καὶ διάδοχον
4 τῶν σκήπτρων διενοεῖτο ποιήσασθαι· τὸν γὰρ ἀδελφόπαιδα
Κωνσταντῖνον καὶ ἰδιωτεῦσαι ἐβούλετο καὶ τῶν παιδογόνων
5 ἀφελέσθαι μορίων. καὶ εἰ μὴ ταχὺ τὸ τέλος αὐτῷ τῆς ζωῆς
ἐπελήλυθε καὶ οὕτως αὐτῷ παρὰ τῆς ἄνω προνοίας ἐσφάλησαν
τὰ βουλεύματα, τάχα ἂν ὅσον τὸ ἐπ' ἐκείνῳ καὶ εἰς ἔργον ἐξέ-
6 βησαν. γοήτων δὲ πυνθανόμενος εἰ ἐς μῆκος αὐτῷ τὰ τῆς
ζωῆς προελεύσεται, ἤκουσεν ἐξ ἐκείνων ὡς ἔσται αὐτῷ μακρο-
C χρόνιον τὸ βιώσιμον, εἰ τῷ ἐν θεάτρῳ συΐ, ὃς ἐκ χαλκοῦ πέ-
7 πλασται, ὀδόντας καὶ αἰδοῖα περίθοιτο. "σὸν γὰρ οὗτος" ἔλεγον

9 ὅτι τὸν ἀνεψιὸν Κωνσταντῖνον ἐκτομίαν ποιῆσαι ὁ Ἀλέξανδρος ἐβούλετο C

1 δρόμιον D, εὐθύμιον corr. Dw τούτου ποιήσας τὴν D, corr. Dw 2 ἐνεβρισάν|των punctis notatum D, corr. Dw προςκειμένων RwpDi, προκειμένων A 3 καὶ om. C ὑπερταρχήσας D, corr. Dw 4 οὐδὲν ...... εἰργάσατο D, lac. suppl. Dw post ἀλλὰ add. καὶ C 5 θηραια (?) D, corr. Dw post θήραις add. μέθαις τε OWo lat., καὶ κώμοις Ewp 6 ἀνθρώποις om. O, add. Dw ἀγωτοις punctis notatum D, corr. Dw 7 ἀπορρήτων Dwp 8 βασιλείτζην CEwp, ut XVI 15, 13 9 ἀδελφιδοῦν O 11 αὐτῷ post ζωῆς D 13 τάχ' EwpDi 16 τῷ om. C post ἐν add. τῷ CDwp 17 οὗτος post ἔλεγον Rwp

et dignitate in ambone abrogata; cum autem Nicolai sectatores
2 multis hominem contumeliis affecissent, relegatus est. Neque
vero is rex rerum potitus quicquam rege dignum gessit, deliciis,
venationibus, luxui deditus; res regni et reipublicae mandavit
circulatoribus et hominibus e triviis, quos ante imperium pro-
3 brorum habuerat socios; quorum unum Basilitzem successorem
4 imperii declarare in animo habebat. Nam fratris filium Con-
5 stantinum et privatum esse et virilibus privare volebat. Idque,
nisi vitam celeriter finisset, consiliis regis a divina providentia
eversis, quantum quidem in ipso fuit, re ipsa fortasse factum
6 esset. Ceterum cum a praestigiatoribus percontaretur, num diu
victurus esset, audivit ex iis se fore longaevum, si apro aeneo
7 theatri dentes et pudenda addidisset. "Tuum enim" aiebant "is

"στοιχεῖόν ἐστιν, ἀντίος ἱστάμενος Λέοντι τῷ σῷ ἀδελφῷ,"
οὐδὲν ἕτερον κρίνοντες ὑγιὲς ἢ τὸ σὺ τοῦτον ἀπεικάσαι τὸν
αὐτοκράτορα, διὰ τὸ περὶ γαστέρα κεχηνέναι τε καὶ συσσίτια
καὶ ἀκολασίαις προσκεῖσθαι διηνεκῶς. πιστεύσας οὖν τοῖς λό- 8
γοις ἐκείνων ὁ καὶ χοίρων ἀνοητότερος τὰ λείποντα ταῦτα τῷ
χαλκουργήματι ἐξειργάσατο.
Τοῦ μέντοι τῶν Βουλγάρων ἀρχηγετοῦντος τοῦ Συμεὼν 9
εἰ τὴν εἰρήνην ἀσπάζοιτο ἐρωτῶντος διά τινων ὑπ' αὐτοῦ
πεμφθέντων, ὁ Ἀλέξανδρος ἀτίμως τε τοὺς πεμφθέντας ἐδέ-
ξατο καὶ ὑπερηφάνως ὡμίλησε καὶ ὑπερόγκως ἠπείλησεν. ὅθεν 10 W III 147
ὁ Συμεὼν τὴν ὕβριν μὴ ἐνεγκὼν κατὰ Ῥωμαίων ὡπλίσατο. D
Συμποσίοις δὲ καὶ μέθαις διόλου προστετηκὼς ὁ Ἀλέ- 11
ξανδρος, ἅπαξ ἀριστήσας μετὰ λουτρὸν καὶ κοίλῃ χρησάμενος
D IV 50 τῇ γαστρὶ καὶ ἀπλήστως ἀκρατισάμενος σφαιρίσαι προέθετο·
καὶ κατατείνας τὸ σῶμα τῇ ἱππασίᾳ καὶ ταῖς τῆς σφαίρας ἐκ- 12
τραχηλίσεσι ῥῆξιν ὑπέστη, καὶ αἷμα διά τε τῆς ῥινὸς κενώσας
καὶ τῆς αἰδοῦς μετὰ μίαν ἡμέραν ἐξέλιπεν, ἐπιτρόπους τῷ ἀνε- 13
ψιῷ καὶ τῆς βασιλείας διοικητὰς γράψας τόν τε πατριάρχην

12 τελευτὴ τοῦ (om. E) Ἀλεξάνδρου CE 17 τίνας ἐπιτρόπους κατέλιπε τῷ βασιλεῖ καὶ (βασ. καὶ om. C) ἀνεψιῷ ὁ Ἀλέξανδρος CE

2 τὸ] τῷ BD, corr. Bw(?) 4 προκεῖσθαι D, corr. Dw 7 ἀρχηγοῦντος D τοῦ alterum om. DEwp 8 ἐρωτῶντος om. C 9 πρέσβεις Ewp 13 ἅπαξ om. O 14 τῇ om. B ἀκρατισάμενος ABCDwW, ἀκρατησάμενος Rp 15 κατατείνας] κατὰ τίνας E 17 αἰδοῦς . . . . μεθ' ἡμέραν D, suppl. et corr. Dw 17. 18 ἐπίτρ. τῶν . . . . βασιλείας D, corr. et suppl. Dw 17 ἀδελφόπαιδι BC

est elementum, quia Leoni fratri repugnas." Neque tamen ulla
in re alia recte ii iudicarunt, nisi quod hunc imperatorem, ho-
minem ventri conviviisque mancipatum luxuque continenter dif-
fluentem, sui comparaverunt. Credidit Alexander, homo porcis 8
amentior, illorum verbis et quae deerant partes aeneo operi adiecit.
Cum Bulgarorum princeps Symeon per legatos ex eo quae- 9
reret, num pacem conservaturus esset, eos Alexander contemptim
excepit et superbe allocutus est et arroganter comminatus. Cuius 10
contumeliae Symeon impatiens contra Romanos arma paravit.
Alexander vero conviviis et ebrietati perpetuo indulgens, 11
cum a balneo pransus, ventre epulis meroque distento, pila lu-
deret, equitando et pilam deiectando vasis quibusdam ruptis 12
multoque sanguine per nares et veretrum reiecto, uno die post
exstinctus est, postquam patrueli suo tutores et regni admini- 13
stratores scripto ordinasset patriarcham Nicolaum, magistrum

Νικόλαον καὶ τὸν μάγιστρον Στέφανον καὶ τὸν μάγιστρον Ἰωάννην τὸν Ἐλαδᾶν τόν τε ῥαίκτωρα Ἰωάννην καὶ δύο τῶν ὑπ' αὐτοῦ προαχθέντων ἐκ τύχης ἀγυρτίδος εἰς συγκλητικὴν ἀξίαν
P II 183 A *καὶ εἰς πατρικιότητα, τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπωλον.*

16 *Ὁ οὖν Ἀλέξανδρος ἐνιαυτὸν ἕνα καὶ μῆνα τὴν βασίλειον διαπεττεύσας ἀρχὴν κατέλυσε τὴν ζωήν· τὸ δὲ κράτος ἐς Κωνσταντῖνον τὸν υἱὸν τοῦ Λέοντος περιέστη, παῖδα ἔτι τυγχάνοντα*
2 *κομιδῇ· ἕβδομον γὰρ ἔτος αὐτῷ τῆς ἡλικίας ἠνύετο. ὁ μέντοι τοῦ Δουκὸς Ἀνδρονίκου υἱὸς ὁ Κωνσταντῖνος, δομέστικος ὢν τῶν σχολῶν καὶ τὴν τοῦ Ἀλεξάνδρου ἐνωτισάμενος τελευτὴν (ἀπεδήμει γὰρ τῆς βασιλίδος τῶν πόλεων), τὸ μέν τι ὃν ἔκρυπτεν ὑπὸ σποδιᾷ σπινθῆρα τοῦ ἔρωτος τῆς βασιλείου ἀρχῆς*
B *ἀνακαλύπτων τε καὶ ἀναρριπίζων, τὸ δὲ καὶ ὑπ' ἄλλων πρὸς τοῦτο ἐρεθιζόμενος (ὧν εἷς εἶναι λέγεται καὶ ὁ πατριάρχης Νικόλαος, μήπω γὰρ τῆς τοῦ Ἀλεξάνδρου διαθήκης ἀναγνωσθείσης οὐκ ᾔδει καὶ αὐτὸς καταλελειμμένος ἐπίτροπος) τυραννίδι*
3 *ἐπικεχείρηκε. καὶ τοὺς ἐκκρίτους τῶν στρατευμάτων παραλαβὼν*

5 *βασιλεία* (*βασιλείου* C) *Κωνσταντίνου τοῦ* (om. B) *υἱοῦ τοῦ* (om. A.) *Λέοντος* AR 8 *ἀποστασία Κωνσταντίνου τοῦ Δουκός* (*δοῦκα* E) CE

1. 2 *καὶ τὸν μάγ. στέφ. — ῥαίκτωρα ἰωάννην* in spatio unius versus relicto suppl. $\mathrm{D_w}$ 2 *ῥαίκτορα* $\mathrm{B^s}$Ewp *ἀπ'* D, *ὑπ'* corr. $\mathrm{D_w}$ 3 *προαθέντων* D, corr. $\mathrm{D_w}$ *ἀγ . . . τιδος* D, *ἀγυρτιδος* (s. acc.) $\mathrm{D_w}$, *ἀγύρτιδος* $\mathrm{B^s}$Cwp 4 *πατρίκιον τιμήσας* D, *πατρικιότητα* corr. $\mathrm{D_w}$ *βασιλείτζην* CEwp, ut XVI 15, 3 *καὶ* ante *τὸν* om. D, suppl. $\mathrm{D_w}$. *γαβριηλόπωλον* R$\mathrm{D_w}$wp, *γαυριηλόπουλον* AD, *Γαβριηλόπουλον* *Di*, v. ad XVI 16, 24 5 ante *οὖν* add. *μὲν* Rwp *ἕνα ἐν.* Ewp 6 *διαπεπτεύσας* p*. 8 *ἔτος* post *ἡλικίας* Ewp 9 *δούκα* Ewp *ὁ* om. D 11 *μέντοι* D, B mutatum ex *μέντι* 12 *ὑποσποδειὰ* D, corr. $\mathrm{D_w}$ *βασιλείας* B, corr. $\mathrm{B_w}$(?) 13 *ἐκκαλύπτων τε* Ewp, *ἀναχωννὺς* omisso *τε* O

Stephanum, magistrum Ioannem Eladam, rectorem Ioannem, duos, quos e circulis vocatos ad senatoriam et patriciam dignitatem evexerat, Basilitzem et Gabrielopolum.

16. Alexandro, cum regnum annum unum et mensem lusisset, defuncto, imperium ad CONSTANTINVM, Leonis filium, transiit, tum admodum puerum; septimum enim agebat aetatis an-
2 num. Sed Constantinus, Andronici Ducae filius, domesticus scholarum, Alexandri obitu audito (nam tum a regia urbe aberat) partim quasdam scintillas cupiditatis regni, quas sub cineribus tegebat, detegens flatuque accendens, partim ab aliis quoque incitatus (quorum unus fuisse dicitur patriarcha Nicolaus, quippe qui Alexandri testamento nondum lecto ignorabat se quoque re-
3 lictum esse tutorem) tyrannidem invasit. Delectis igitur militibus

τῷ Βυζαντίῳ ἐπιδεδήμηκε καὶ διά τινος πυλίδος νυκτὸς εἰσελ-
θὼν τὴν τοῦ Ἱπποδρόμου πύλην μετὰ λαμπάδων καταλαμβάνει,
τινὰς καὶ τῶν συγκλητικῶν προσεταιρισάμενος, πολλοῦ καὶ
δημώδους ὄχλου συναθροισθέντος, οἳ καὶ ὡς βασιλέα αὐτὸν
D IV 51 εὐφήμουν καὶ ἀνηγόρευον. τῶν δ' ἐντὸς τὰς πύλας μὴ ἀνοι- 4
γνύντων, ὁ πρωτοστράτωρ τοῦ Κωνσταντίνου ταῖς χερσὶ πεποι- C
θὼς καὶ θρασύτερον προσαράξαι τὰς πύλας καὶ καταβαλεῖν
βιαζόμενος νύττεται λόγχῃ παρά του τῶν ἔνδον διά τινος ἀμυ-
χῆς. καὶ ὁ μὲν ἦν αὐτίκα νεκρός. ὁ δέ γε Κωνσταντῖνος 5
ἐκεῖθεν εἰς τὸ τῶν ἵππων ἄπεισιν ἁμιλλητήριον θέατρον, εἶτα
εἰς τὴν λεγομένην ἦλθε Χαλκῆν καὶ ἄχρι τῶν Ἐξκουβίτων
προῆλθεν. ὁ δὲ τῶν ἐπιτρόπων εἷς ὁ μάγιστρος Ἰωάννης ὁ 6
Ἐλαδᾶς ἐκ τῶν ἑταιρειῶν καὶ τῶν πλωίμων συλλέξας τινὰς
ἀντικαταστῆναι τῷ τυραννοῦντι αὐτοὺς ἐξαπέστειλε. καὶ συμ- 7
πλοκῆς γενομένης πολλοὶ πεπτώκασιν ἑκατέρωθεν· ἔσφακτο δὲ
καὶ Γρηγορᾶς ὁ τοῦ Δουκὸς υἱὸς καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ D
καὶ Κουρτίκιος ὁ Ἀρμένιος. τούτοις οὖν περιαλγήσας ὁ Κων- 8
σταντῖνος καὶ τὸ οἰκεῖον ἐπιρρῶσαι προθυμούμενος σύνταγμα
τὸν ἵππον ἤλαυνε, συμμῖξαι θέλων τοῖς ἔμπροσθεν· ἐστρωμένου 9

17 ἀναίρεσις τοῦ Δούκα Κωνσταντίνου E

3 ante τινας add. καί OwpDi   καὶ ante τῶν om. Owp   post πολλοῦ add. δὲ O   10 τὸν D, τὸ corr. Dw   11 χαλκῆν R^s Di, χαλκὴν AB^s wp, v. ad XV 13, 27   12 προῆλθεν RwpDi, προῆλθε A, v. ad XIII 1, 5   13 ἑταιρειῶν ODi, ἑταιρείων A, ἑταιριῶν Ewp   16 post καὶ prius add. ὁ C   δούκα EwpDi   19 ἐστρωμένου RwpDi, ἐστρωμένου (μ suprascr.) A, ἐστρωμμένου B

assumptis, Byzantium per quandam portulam noctu ingressus
circi equestris portam cum facibus occupat, conciliatis sibi sena-
toribus quibusdam et magna plebis turba congregata, qui eum
faustis ominibus prosequebantur regemque salutabant. Custodi- 4
bus autem portam non aperientibus, Constantini protostrator
manibus fretus, dum eam audacius caedere et revellere nititur,
per foramen lancea a custodibus, qui erant intus, confossus statim
concidit exanimis. At Constantinus inde in equestrium certa- 5
minum theatrum discedit; deinde in Chalcen, quae dicitur, venit
et usque ad Excubita progreditur. Verum unus de tutoribus 6
Ioannes Eladas magister quosdam ex sodalitatibus et classiariis
collectos misit, ut tyranno resisterent. Pugna commissa, multi 7
utrimque ceciderunt; caesus Gregoras, Ducae filius, et patruelis
eius Michaël et Curticius Armenius. Ob hos amissos Constan- 8
tinus permotus, dum exercitum suum confirmaturus equo con-
citato in primam aciem provehitur, equo in solo tabulis lapideis 9

δὲ τοῦ ἐδάφους πλαξὶν ὑπολισθήσας ὁ ἵππος ἔπεσε καὶ τὸν
ἀναβάτην κατήνεγκε· καί τις εὐθὺς αὐτῷ ἐπελθὼν ἐξέτεμε τὴν
αὐτοῦ κεφαλὴν καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ προσήνεγκε, διὰ
τῆς δυτικῆς τοῦ Χρυσοτρικλίνου πύλης εἰσελθών, κατὰ τὴν
10 πρόρρησιν τοῦ βασιλεύσαντος Λέοντος. ὅτι δὲ οὐ τεύξεται τῆς
βασιλείας ὁ Δοὺξ Κωνσταντῖνος καὶ ἑτέρωθεν τοῖς περὶ τὸν
11 βασιλέα ἐπέγνωστο. ἦν γάρ τις τελώνης Νικόλαος, ὃς χρεώ-
στης πολλῶν χρημάτων τῷ δημοσίῳ γενόμενος πρὸς τοὺς
Ἰσμαηλίτας κατέφυγε καὶ τὴν πίστιν ἐξομοσάμενος ἀστρολογίαν
P II 184 A 12 μετῄει. οὗτος τῷ λογοθέτῃ τοῦ δρόμου ἀπεστάλκει γραμμάτιον·
W III 148 ἡ δὲ τούτου περίληψις ἦν τοιαύτη· "μὴ φοβηθῆτε ἀπὸ τοῦ
Δουκός· νεωτερισθήσεται γὰρ ἀφρόνως καὶ εὐθέως ὀλοθρευ- D IV 52
13 θήσεται." καὶ ἡ μὲν ἀποστασία ἐπέπαυτο· ὁ δὲ τοῦ Κων-
σταντίνου πενθερὸς ὁ μάγιστρος Γρηγορᾶς καὶ Λέων ὁ Χοιρο-
σφάκτης τῇ μεγάλῃ ἐκκλησίᾳ προσπεφοιτήκασιν, οὓς ἐκβαλόντες
τοῦ θείου τεμένους μοναχοὺς ἀπέκειραν οἱ ἐπίτροποι ἐν τῇ
14 τοῦ Στουδίου μονῇ. ἄλλους δ' αἰκισάμενοι ἐθριάμβευσαν, ἑτέ-
ροις τὰ ὄμματα ἐξεπήρωσαν, ἐνίων δὲ τὰς κεφαλὰς ἀπέτεμον,

13 ὅτι πολλοὺς οἱ τοῦ βασιλέως ἐπίτροποι τῶν συναραμένων τῷ ἀποστάτῃ ἐκόλασαν E

2 αὐτῷ εὐθὺς EwpDi εὐθὺς om. C ἐξέτομε D, corr. Dw 4 πύλης post δυτικῆς C 5 συτεύξεται D, corr. Dw 5. 6 τῆς βασ. post κωνστ. Ewp 6 δοῦκας D, δούκας Ewp ἑτέρω θι Ewp τοῖς RwpDi, τῆς A 8 χρῆμα D, corr. Dw 10 ἀπ-έσταλκα D, ἀπέσταλκε Dw γραμμάτια D, corr. Dw 11 τούτων D, corr. Dw 12 δούκα Ewp νεωτερισθήσεται AE Cedr. (Scylitz.) II p. 281, 2, νεωτερίσει OwpDi 13 ἀποστάτου O *Wo* lat. 17 αἰκησάμενοι p*

strato prolapso, praecipitatur; cui quidam statim caput amputat
regique Constantino offert per occidentalem aurei triclinii portam
10 ingressus, sicut rex Leo vaticinatus erat. Constantinum autem
Ducam regno non potiturum regi et aulicis aliunde quoque inno-
11 tuerat. Erat quidam publicanus Nicolaus, qui grandi aere alieno
reipublicae obstrictus, abiurata religione, ad Ismaëlitas se con-
12 tulerat et astrologiam tractabat. Is cursus publici logothetae
litteras miserat, quorum haec summa erat: "Nolite timere a Duca;
13 nam novis rebus temere studebit et statim peribit." Defectione
oppressa, Constantini socer magister Gregoras et Leo Choero-
sphactes in magnam ecclesiam se contulerunt, quos tutores inde
14 eiectos totonderunt, ut in monasterio Studii monachi essent. Alios
flagris caesos in triumpho circumduxerunt, nonnullis oculos effo-
derunt, quosdam obtruncarunt, alios a Chrysopoli usque ad Leu-

*καὶ ἄλλους ἐκ Χρυσοπόλεως μέχρι τοῦ Λευκάτου ἀνεσκολόπισαν.
καὶ ἄλλοι δὲ πλείους τῆς τῶν ἐπιτρόπων ἐξουσίας γεγόνασιν* 15 B
*ἂν παρανάλωμα, εἰ μή τινες τῶν δικαστῶν τῆς πρὸς τὰς τι-
μωρίας ῥοπῆς αὐτοὺς ἀνεχαίτισαν, εἰπόντες "πῶς τοιαῦτα ποιεῖτε
ὑμεῖς κελεύσεως ἄτερ βασιλικῆς, ἐπεὶ παῖς ὢν ὁ βασιλεὺς τοῖς
πραττομένοις οὐ συναινεῖ;" ἀποκείραντες δὲ οἱ ἐπίτροποι καὶ* 16
*τὴν τοῦ Κωνσταντίνου γυναῖκα καὶ τὸν υἱὸν Στέφανον ἐκτο-
μίαν ποιήσαντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῶν ἀπεστάλ-
κασι τούτους. οἱ δὲ τοῦ βασιλέως ἐπίτροποι, ὅ τε πατριάρχης* 17
*καὶ οἱ λοιποί, ἐναυθεντοῦντες τοῖς πράγμασι πολλὰ τῶν οὐ
δεόντων ἐποίουν, καὶ πρὸς ἀλλήλους δὲ διεφέροντο, τῶν μὲν
τάδ' εἰσαγόντων, τῶν δὲ τὰ ἀντίθετα· καὶ ἦν ἡ τούτων διοί-* C
κησις πολυαρχία τις, ἀλλ' οὐ μοναρχία.

Ὁ δὲ Βούλγαρος Συμεών, ὡς μὴ βασιλέως ἐπιστατοῦντος 18
*τοῖς πράγμασι, ῥᾳδίως ἐλπίσας κρατῆσαι τῆς βασιλίδος τῶν
πόλεων ἔπεισι κατὰ ταύτης μετὰ πλείστης δυνάμεως καὶ ἔξω
στρατοπεδεύεται τῶν ταύτης τειχῶν καὶ πολιορκῆσαι ταύτην
διανενόητο. ἰδὼν δὲ τὸ τῶν τειχῶν κρατερὸν καὶ τὸ πλῆθος* 19

2 *σημείωσαι* A 9 *ὅτι διεφέροντο ἀλλήλων οἱ τοῦ βασιλέως ἐπίτροποι* E

1 *Λευκάτου* Theoph. cont. p. 384, 18, *Λευκακτίου* Cedr. (Scylitz.) II p. 281, 18 4 *ταῦτα* DEwp*Di* 5 *ὑμεῖς* om. C 6 *οὐ συναινεῖ* AEDwwp, *συναινεῖν οὐ πιστεύεται* O *Wo* lat. *ἀποκρίναντες* E 8. 9 *ἐστάλκασι τούτους* Ewp, *ἀφῆκαν αὐτοὺς ἀπελθεῖν* O *Wo* lat. 9 *δὲ*] *μέντοι* O 11 *δὲ* om. C 12 *τάδ'*] *τά δ'* D 15 *κρατῆσαι* Rwp*Di*, *κρατῆσαι* ex *κροτήσας* corr. C, *κρατήσας* A 17 *πολυορκῆσαι* D, corr. Dw 18 *διενενόητο* Ewp, *διενοεῖτο* Dw 18. p. 462, 1 *κρατερὸν* .... *ἐπ'* D, lac. suppl. Dw

caten trabibus affixerunt. Ac plures eorum licentia periissent, 15
nisi quidam ex iudicibus eos a temeritate illa puniendi retraxissent his verbis: "Cur vos talia facitis regis iniussu, qui, cum
puer sit, iis, quae geruntur, non consentit?" Sed et Constantini 16
uxorem tonsam et eius filium Stephanum virilibus exsectis in
eorum domum Paphlagoniam miserunt. Regis igitur tutores, 17
tam patriarcha quam ceteri, suo arbitratu res gerentes multa iniuste agebant neque inter se consentiebant, aliis ea, quae alii statuerant abrogantibus, ita ut imperium non unius, sed multorum esset.

Sed Symeon Bulgarus ratus se, quod rex rebus non prae- 18
esset, urbe regia facile potiturum Byzantium cum maximis copiis aggreditur et extra moenia castris positis expugnationem meditatur.
Sed cum firmitatem moenium vidisset et multitudinem ea defen- 19

τὸ ἐπ' αὐτῶν καὶ τῶν ἐν τοῖς τείχεσι μηχανημάτων τὸ δαψιλές,
20 ἰλιγγιάσας μετέπεσεν εἰς τὸ Ἕβδομον, ζητῶν σπείσασθαι. ὁ
γοῦν πατριάρχης καὶ οἱ λοιποὶ τῶν ἐπιτρόπων λαβόντες τὸν D IV 53
βασιλέα εἰς τὰ ἐν Βλαχέρναις ἦλθον βασίλεια, ὅπου καὶ ὁ Συ-
D μεὼν παρεγένετο, ὁμήρους δοὺς καὶ λαβών, καὶ τῷ πατριάρχῃ
κλίνας τὴν κεφαλὴν ηὐλογήθη παρ' ἐκείνου καὶ συνειστιάθη
21 τῷ βασιλεῖ. εἶτα μὴ ἀρεσθεὶς ταῖς συνθήκαις ἐπανῆλθεν ἀσύμ-
βατος, δώροις δεξιωθεὶς καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ.
22 Ἀνακαλουμένου δὲ διόλου τὴν ἑαυτοῦ μητέρα τοῦ βασι-
λέως καὶ ἐπὶ ταύτῃ δακρύοντος (ἔφθη γὰρ ταύτην τῶν ἀνα-
κτόρων καταγαγεῖν ὁ Ἀλέξανδρος) ἠναγκάσθησαν αὐτὴν ἀνα-
23 γαγεῖν οἱ ἐπίτροποι. ἡ δὲ ἀνελθοῦσα τῆς διοικήσεως εἴχετο,
προσλαβοῦσα καὶ τὸν παρακοιμώμενον Κωνσταντῖνον καὶ τοὺς
24 αὐταδέλφους ἄμφω τοὺς Γογγυλίους· καὶ πρῶτον μὲν τὸν πα-
τριάρχην ἀπάγει τῶν βασιλείων, εἶτα καὶ τοὺς τοῦ Ἀλεξάνδρου
P II 185 A θεράποντας ἐξωθεῖ, τὸν ῥαίκτωρα τὸν Βασιλίτζην καὶ τὸν

9 ὅτι ἀνήχθη ἡ τοῦ βασιλέως μήτηρ εἰς τὰ βασίλεια καὶ τῆς διοικήσεως εἴχετο E

1 τοῖς om. E 1. 2 τείχεσι .... μετέπεσεν D, lac. suppl. Dw 2 ἰλιγγιάσας ARDw, ἐλιγγιάσας w*, εἰλιγγιάσας (sic) p* 4 βλασερα | punctis notatum D, βλαχέρναις corr. Dw νύθον D, ἦλθον corr. Dw 4. 5 καὶ ὁ συμεὼν παρεγένετο AEDwwp, δὴ παρεγένετο (παρέκειτο D) καὶ ὁ συμεὼν O 5 ὁ .... καὶ τῷ D, lac. suppl. Dw 6 παρ' ἐκείνου ηὐλογήθη (εὐλ. D) O παρ' ἐκείνου εὐλογήθη καὶ συνεστιάθη D, καὶ deleto add. παρ' ἐκείνου καὶ Dw 7 εἶτα .... ταῖς D, lac. suppl. Dw ἀσύμβαπος D, corr. Dw 11 καταγαγὼν D ἀγαγεῖν D 13 ante καὶ prius add. δὲ D 14 ἄμφω] ἅμα B στρογγύλους D, corr. Dw, γογγύλους ex στρογγύλους mut. B πρῶτα | C 15 βασιλειῶν w*p invitis AR τοῦ om. B 16 ῥαίκτορα DEw, Ραίτορα p* βασιλείτζην CEwp, βασιλείτζιν D, v. ad XVI 15, 13

dentium et frequentes in iis machinas, velut vertigine oborta ad
20 Hebdomum regressus pacem facere studuit. Patriarcha igitur
et ceteri tutores regem secum in Blacherniam regiam adduxerunt,
quo et Symeon venit, obsidibus datis et acceptis, et a patriarcha
submisso capite fausta comprecatione accepta, cum rege cibum
21 cepit. Sed cum ei pacis condiciones displicerent, discessit sine
pactionibus, muneribus et ipse et eius liberi donati.
22 Iam quia rex suam matrem, quam Alexander regia pridem
eduxerat, perpetuo revocabat eiusque absentiam deploraret, tu-
23 tores reducere sunt conati. Reversa curam rerum suscepit et,
cubiculario Constantino duobusque fratribus Gongyliis ascitis,
24 primum patriarcham regia movet, deinde Alexandri ministros,

Γαβριηλόπωλον, ἀλλὰ μέντοι καὶ τοὺς λοιπούς. Κωνσταντῖνος 25
δὲ ὁ παρακοιμώμενος τὰ πάντα ἠδύνατο.
Ὁ μέντοι Βούλγαρος Συμεὼν τὴν Θρᾴκην κατέτρεχέ τε 26
καὶ ἐληίζετο καὶ ἐν τῇ Ἀδριανουπόλει βάλλεται χάρακα, πολιορ-
κίᾳ ταύτην ἐλπίζων ἑλεῖν. ὡς δ' ἑώρα ἑαυτῷ κενόσπουδον 27
τὸ ἐγχείρημα, ἑτέρως τὴν ἅλωσιν τῆς πόλεως μέτεισι. χρήμασι 28
γάρ τινας τῶν φυλάκων αὐτῆς ὑποφθείρας ἐκ προδοσίας αὐτὴν
ἐξεπόρθησεν. ἀλλὰ ταύτην μετέπειτα πάλιν ὑπὸ Ῥωμαίους ἡ 29
τῆς βασιλίσσης σπουδὴ ἐποιήσατο. μὴ φέρουσα δὲ τὰς κατὰ 30
τῆς Θρᾳκῴας χώρας πυκνὰς ἐπελεύσεις τοῦ Συμεὼν σπένδεται
τοῖς ἐξ Ἰσμαὴλ καὶ τά τε ἑῷα τάγματα καὶ τὰ ἑσπέρια συν- B
αθροίσασα τῷ μαγίστρῳ Λέοντι τῷ Φωκᾷ τῶν σχολῶν δομε-
στίκῳ τυγχάνοντι τὸν κατὰ τοῦ Συμεὼν ἀνέθετο πόλεμον. ὃς 31 W III 149
D IV 54 καὶ μάχην συνάψας ἡττᾷ τοὺς Βουλγάρους περιφανῶς καὶ
φόνον αὐτῶν ποιεῖται πολύν. κατάκοπος δὲ γεγονὼς καὶ ἱδρῶτι 32
διάβροχος κἀντεῦθεν λειποθυμῶν, ἐπί τινι πηγῇ τοῦ ἵππου ἀπο-
βὰς ἀνέψυχεν ἑαυτόν. ἐν τούτῳ δὲ ὁ ἵππος αὐτοῦ τὰς τοῦ 33
κατέχοντος αὐτὸν χεῖρας διαφυγὼν ἐν τῷ τοῦ στρατοπέδου
πεδίῳ ἐκρόαινεν ἀναβάτου χωρίς. ἐπίσημος δὲ τυγχάνων εἰς 34
δειλίαν ἐνέβαλε τὰ στρατεύματα οἰηθέντα πεσεῖν τὸν δομέστικον,

1 γαβριηλόπωλον B[s]EwpDi, γαβριολόπωλον A, γαυριηλόπωλον C, γαβριηλόπουλον D, v. ad XVI 15, 13 3 τε om. D 4 ἀνδριανουπόλει D, corr. Dw 9 βασιλίσση D, corr. Dw 16 λειποθυμῶν Rwp, λυποθυμῶν A, λιποθυμῶν Di, v. XV 18, 11, XVI 10, 3 17 ἀνέψυχον E, ἀνέψυξεν D 19 ἐκρόαινεν AOWo lat., ἐκρώενεν E, ἐκρόανεν w*p 20 οἱ εντα punctis notata D, corr. Dw

rectorem Basilitzem, Gabrielopolum, ceteros. Constantinus autem, 25
cubiculi praepositus, poterat omnia.
Ceterum Bulgarus Symeon Thraciam incursionibus popu- 26
latus vallo excitato se Adrianopolim expugnaturum confidebat.
Quo conatu cum se frustrari videret, alia via rem aggreditur, 27
et quibusdam urbis custodibus pecunia corruptis, urbem proditam 28
vastabat, quam reginae studium Romano imperio recupera- 29
vit. Quae cum crebras Symeonis in Thraciam excursiones 30
non ferret, pace cum Ismaëlitis facta et legionibus tam orienta-
libus quam occidentalibus convocatis magistro Leoni Phocae,
scholarum domestico, bellum Symeonis mandat; qui pugna 31
commissa Bulgaros insigni victoria superat, multis eorum caesis.
Sed defatigatione et sudore vix sui compos equo descendit se- 32
que ad fontem quendam recreavit. Interea equus ministri ma- 33
nibus elapsus in planitie castrorum sine sessore exsultabat. Qui 34
cum insignis esset, tantum terrorem incussit exercitibus dome-

C *καὶ τοῦ μὲν πολέμου ἀπέσχοντο καὶ τῆς διώξεως ἔστησαν, θό-*
35 *ρυβος δ' ἔσχεν αὐτούς. ὁ δέ γε Συμεὼν ἐκ περιωπῆς τινος*
ὁρῶν τὸ συμβεβηκὸς περὶ τὰ στρατεύματα τοῖς περὶ αὐτὸν
ἐγκελεύεται καὶ κατὰ Ῥωμαίων ἐξώρμησε καὶ τεθορυβημένοις
αὐτοῖς ἐμβαλὼν εἰς φυγὴν ἅπαντας ἀθρόον ἐτρέψατο· καὶ τοὺς
μὲν οἱ Βούλγαροι διώκοντες ἔκτεινον, οἱ δ' ὑπ' ἀλλήλων ἀπώλ-
36 *λυντο συμπατούμενοι. ὁ δὲ τῶν σχολῶν δομέστικος μόλις εἰς*
Μεσημβρίαν διαδρᾶναι δεδύνητο· πολλοὶ δὲ καὶ τῶν στρατηγῶν
καὶ ταγματάρχαι τότε ἐφθάρησαν.
17 *Ἰωάννης δὲ ὁ Βογᾶς ἐστάλη Πατζινάκους εἰς συμμαχίαν*
ἀγαγεῖν κατὰ τῶν Βουλγάρων, καὶ ὁ πατρίκιος Ῥωμανὸς ὁ
D *Λακαπηνός, δρουγγάριος ὢν τῶν πλωίμων, ὡρίσθη μετὰ τοῦ*
στόλου παραπλεῖν, ἅμα μὲν εἰς συνεργίαν τοῦ τῶν σχολῶν δο-
μεστίκου, ἅμα δὲ καί, εἰ ἀχθεῖεν σύμμαχοι παρὰ τοῦ Βογᾶ,
2 *διαπεραιώσασθαι σφᾶς. ἧκεν οὖν ὁ Βογᾶς μετὰ τῶν συμμά-*
3 *χων. στάσεως δ' ἐμπεσούσης αὐτῷ τε καὶ τῷ Λακαπηνῷ,*
ὁρῶντες οἱ Πατζινάκοι αὐτοὺς πρὸς ἀλλήλους διαπληκτιζομένους

1 *πολέμου .... καὶ* D, lac. suppl. Dw 1—3 *διώξεως | ἔχετε .... ἔρων τὸ συμβ.* D, *διώξεως ἔστησαν. ὁ δέγε συμεὼν ἐκ περιωπῆς τινος ἰδὼν τὸ συμβ.* Dw omissis *θόρυβος δ' ἔσχεν αὐτούς*; eadem verba neglegit *Wo* lat. 3 *ἔρων* D, *ἰδὼν* EDwwp *στρατεύματα .... πεσεῖν τὸν δομέστικον* | (ex p. 463, 20) D, *στρατεύματα τοῖς* corr. Dw *τοὺς* E 3. 4 *αὐτὸν ἐγκέκλετο ... κατὰ* D, corr. et suppl. Dw 4 *ἐγελεύεται* (sic) A *ἐξώρμισε* D, corr. Dw *τεθοροβυσμένους* D, corr. Dw 5 *ἐμβάλων* D, corr. Dw *ἅπαντας | .... καὶ τοὺς* D, lac. suppl. Dw 6 *ἔκτειναν* D 6. 7 *συμπατ. ἀπώλλυντο* CD, corr. Dw 8 *ἀποδρᾶναι* Ewp, *ἀποδράναι* O, *διαδράναι* A, corr. *Di* *δεδύνηται* D 10 *βωγὰς* BC (tum recte) *πατζινάκας* CDwwp, *πατζινακᾶς* D 14 *εἰ ἀχθεῖεν* Rwp*Di*, *εἰςαχθεῖεν* A 15 *σφᾶς* om. D, suppl. Dw 17 *πατζινάκαι* CD *διαπληκτιζομένους* ante *πρὸς* D

sticum cecidisse ratis, ut et pugna et persecutione hostium ab-
35 stinerent turbaque oriretur. Quae cum Symeon e specula quadam vidisset, suos cohortatus contra Romanos ducit subitoque in perturbatos impressione facta universos in fugam convertit, in qua alios Bulgari assecuti occiderunt, alii invicem conculcati
36 perierunt. Scholarum vero domesticus aegre Mesembriam evadere potuit, multis etiam ducibus et tribunis tum interfectis.
17. Ioannes autem Bogas missus est, ut Patzinacos ad belli Bulgarici societatem adduceret, Romanus vero Lacapenus patricius, classis drungarius, litus classe legere iussus est, simul ad opem scholarum domestico ferendam, simul ut adductos a Boga
2. 3 socios quosdam transveheret. Ac venit Bogas cum sociis. Orta autem inter ipsum et Lacapenum rixa, Patzinaci videntes eos

καὶ ἀμελῶς περὶ τὴν αὐτῶν διακειμένους διάβασιν εἰς τὰ ἑαυ-
τῶν ἐπανήλθοσαν. οἱ μὲν οὖν οὕτω ταῦτά φασι καὶ τὴν ἧτταν 4
D IV 55 *τῶν Ῥωμαίων ἐντεῦθεν συμβῆναι, μὴ τυχόντων τῆς συμμαχίας,*
οἱ δὲ ἄλλοίως τὸ πρᾶγμα ἱστόρησαν· ἡττήσαντος γάρ φασι τοῦ 5
Φωκᾶ τοὺς βαρβάρους καὶ διώκοντος, φήμην γενέσθαι ὡς ὁ
δρουγγάριος τῶν πλωίμων ἄπεισι σὺν τῷ στόλῳ, τὴν βασιλείαν
παραληψόμενος· τοῦτο δὲ τῷ δομεστίκῳ πεσὸν εἰς ὦτα ἐκτα- 6 P II 186 A
ράξαι αὐτόν, ὡς ἀποσχέσθαι μὲν τῆς διώξεως, ἐπανελθεῖν δ'
εἰς τὸν χάρακα, τὰ τῆς φήμης ἀκριβωσόμενον, κἀντεῦθεν πα-
λίντροπον γενέσθαι τὸν πόλεμον· φυγεῖν μὲν γὰρ τοὺς Ῥω- 7
μαίους, ἀπόδρασιν τῆς μάχης οἰηθέντας τὴν εἰς τὸν χάρακα
τοῦ δομεστίκου ἀπέλευσιν, τοὺς δὲ Βουλγάρους ἐκ τῆς φυγῆς
ἐπαναστραφέντας διώκειν αὐτούς. τὴν δὲ πρὸς τὸν χάρακα 8
τοῦ δομεστίκου ὑποστροφὴν τῆς βασιλείας ἐπιθυμία πεποίηκεν.
ἐρῶν γὰρ αὐτῆς ἔσπευδεν, εἰ ἀληθὲς ἦν τὸ τὸν δρουγγάριον 9
ἀπιέναι, προκαταλαβεῖν αὐτὸς καὶ οἰκειώσασθαι τὴν ἀρχήν.
μετὰ δὲ τὴν ἧτταν ἐπανελθόντων τοῦ τε Λακαπηνοῦ καὶ τοῦ 10
Βογᾶ, ἐζητήθη τὰ μέσον αὐτῶν, καὶ κατεκρίθη ὁ Ῥωμανὸς B
πηρωθῆναι τὰ ὄμματα, ὡς αἴτιος τῆς ἥττης ἢ κακούργως ἢ
ῥᾳθύμως γενόμενος, ἀλλ' ἐκεῖνον μὲν τῆς ψήφου ταύτης ἐξήρ-
πασάν τινες μέγα παρὰ τῇ βασιλίσσῃ δυνάμενοι.

1 *περὶ*] *εἰς* D   3 *τῆς* om. Ewp   *συμμαχίας* Rwp*Di*, *συμ*¦ A
4 *φασι* om. D   5 *ὁ* om. B, add. B_w(?)   6 *πλοΐμων* p* invitis ARw
7 *πεσὼν* DE, corr. D_w 9 *ἀκριβωσόμενος* w*p invitis AR
κἀ¦*τεῦθεν* (sic) A   11 *τῆς μάχης οἰηθέντας* om. C   14 *ἐπι-*
θυμία post *ὑποστροφὴν* C   *ἐπιθυμίᾳ* *Di*   18 ante *ὁ* add. *αὐτὸς* E
19. 20 *ἢ ῥᾳθ.* Rwp*Di*, *καὶ ῥᾳθ.* A, unde conicit *ἢ καὶ ῥᾳθ.* *B-W*

inter sese convicantes ipsorum transvectionem parum curare, ad
sua redierunt. Quidam igitur haec ita narrant et negata socio- 4
rum auxilia Romanae cladis fuisse causam tradunt, alii aliter.
Nam cum Phocas barbaros profligatos persequeretur, rumorem 5
esse ortum drungarium cum classe abire, ut regnum occuparet.
Quo domesticum audito ita perturbatum fuisse, ut et a perse- 6
quendo desisteret et in vallum rediret, rumorem certius cogni-
turum, et sic, Martis alea mutata, fugisse Romanos domestici in 7
castra reditum fugam interpretatos, Bulgaros vero ex fuga con-
versos illorum terga cecidisse. Ut autem domesticus ad vallum 8
rediret, in causa erat regni cupiditas; qua cum aestuaret, si ru- 9
mor de drungario verus esset, antevertere sibique vindicare prin-
cipatum cupiebat. Lacapeno et Boga a clade reversis iudicioque 10
de eorum controversia facto, Romanus damnatus est ad oculos
effodiendos, ut qui acceptae cladis auctor sive de industria, sive
per negligentiam exstitisset; sed ab illo suffragio per quosdam
apud reginam gratiosissimos est ereptus.

11 Ὁ δὲ Βούλγαρος Συμεὼν τῇ νίκῃ ἐξογκωθεὶς ἐπῄει κατὰ
12 τῆς βασιλευούσης τῶν πόλεων. ἀντικατέστη δὲ αὐτῷ πάλιν ὁ
τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς· καὶ μάχης συγκροτηθείσης
ἐν Κατασύρταις οἱ βάρβαροι ἥττηντο.
13 Πολλῶν δὲ καὶ τούτων περιφανῶν ἔρωτα τρεφόντων τῆς
βασιλείας, μᾶλλον τῶν ἄλλων περὶ τὸν ταύτης ἐφλέγμαινεν
ἔρωτα ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς, πεποιθὼς μὲν καὶ
C ἑαυτῷ διὰ τὸ γένος καὶ διὰ τὴν ἰσχύν, οὐχ ἥκιστα δὲ τῷ παρα-
κοιμωμένῳ Κωνσταντίνῳ τῷ ἐκτομίᾳ, τὰ πάντα τότε παρὰ τοῖς D IV 56
ἀνακτόροις ἰσχύοντι, οὗ ἐπ' ἀδελφῇ κηδεστὴς ἐτύγχανεν ὤν.
14 ταῦτα τοίνυν ὁρῶν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς
καὶ δείσας περὶ αὐτῷ, πείθει τοῦτον τὸν τοῦ στόλου δρουγγά-
ριον τὸν εἰρημένον Ῥωμανὸν οἰκειώσασθαι καὶ φύλακα προσ-
W III 150 15 λαβέσθαι. ἐγχαράττει τοίνυν βιβλίον ὁ βασιλεὺς οἰκειόγραφον
16 καὶ στέλλει τῷ δρουγγαρίῳ. ὁ δὲ τοῦτο δεξάμενος ὑπέσχετο
17 τὴν τοῦ παρακοιμωμένου δυναστείαν, εἰ οἷόν τε, καθελεῖν. καί
ποτε τοῦ παρακοιμωμένου, ἔνθα ὁ στόλος ὥρμιστο, παραγενο-
D μένου καὶ ἐπισπέρχοντος ἐκπλεῦσαι αὐτόν, ὁ δρουγγάριος δου-

11 ὅπως ὁ Λακαπηνὸς παρὰ τοῦ βασιλέως Κωνσταντίνου εἰς ἐπικουρίαν προσελήφθη E 16 ὅπως ὁ παρακοιμώμενος κατεσχέθη παρὰ τοῦ Λακαπηνοῦ E

1 ἐποίει D, corr. Dw 2 αὐτοῦ D, corr. Dw 4 βούλγαροι B 5 τὸν περίφανον D, καὶ τούτων περιφανῶν corr. Dw 6 τὸν RwpDi, τῶν A, τὸν ex τῶν corr. C ἐφλέγμαινον D, corr. Dw 7 ante ὁ prius add. λέων Owp καὶ om. Ewp 9 ἐκτομίαν D, corr. Dw 11 τοίνυν] οὖν D 12 αὐτοῦ Dwp τοῦτον om. D 17 παραγινομένου B 18 ἐπι σπέρχον E, ἐπισπέρχονος w*p δουλικότερον Ewp

11 At Bulgarus Symeon victoria elatus regiam urbem aggre-
12 ditur, cui iterum scholarum domesticus Phocas est oppositus;
commissaque in Catasyrtis pugna, barbari succubuerunt.
13 Cum autem multi iique viri illustres regni amorem alerent,
nemo tamen eo magis flagrabat, quam Phocas, scholarum dome-
sticus, cum se ipso fretus ob genus et potentiam, tum vero Con-
stantino eunucho cubiculario, qui in regia tum poterat omnia,
14 cuius sororem in matrimonio habebat. Quae cum regis Con-
stantini paedagogus cerneret illique timeret, persuadet, ut classis
15 drungarium Romanum sibi devinciat et custodem adiungat. Rex
16 igitur litteras sua manu scriptas drungario mittit, quibus ille
acceptis pollicetur se, si possit, cubiculi praefecti potestatem ever-
17 surum. Qui praefectus cum aliquando ad classis stationem per-
venisset et naves in altum provehi iuberet, drungarius servilem

*λικώτερον αὐτῷ προσυπήντησε καὶ μεθ' ὑποστολῆς ὡμίλει καὶ
περὶ τὰς τριήρεις ἠρέμα πως προεβίβαζεν. ὡς δὲ τῇ ναυαρχίδι* 18
*προσήγγισεν ἑτοίμους ἔχων ἄνδρας παρεπομένους αὐτῷ γεν-
ναίους τε καὶ πολλούς, "ἄρατε τοῦτον" εἶπεν. οἱ δὲ συσχόντες* 19
*αὐτὸν εἰς τὴν τριήρη ἐνέθεντο, τῶν περὶ αὐτὸν αὐτίκα δια-
σπαρέντων. τοῦτο τῇ βασιλίδι ἐνωτισθὲν εἰς θόρυβον αὐτὴν* 20
καὶ τοὺς ἐν τέλει ἐνέβαλε. πέμπει τοίνυν πρὸς τὸν Ῥωμανὸν 21
*ἐρωτῶσα τί ἂν εἴη τὸ γεγονός. ἀλλὰ τὸ ναυτικὸν λίθοις τοὺς
πεμφθέντας ἐδίωξαν. τῇ δ' ἑξῆς τὸν πατριάρχην ὁ βασιλεὺς* 22
μετακαλεσάμενος καὶ τὸν μάγιστρον Στέφανον ἔπεμψε τοὺς ἐκ P II 187 A
τῶν βασιλείων τὴν αὐτοῦ μητέρα κατάξοντας. τῆς δὲ τῷ υἱῷ 23
*προσφυείσης μετὰ δακρύων, εἰς οἶκτον ἐκεῖνος ἐκλίθη καὶ ἀφῆ-
κεν αὐτήν, εἰς ἑαυτὸν δὲ τὴν ἐξουσίαν μετήνεγκε καὶ προεχει-
ρίσατο δομέστικον τῶν σχολῶν τὸν Γαριδᾶν Ἰωάννην τὸν μά-
γιστρον. ὁ δὲ δρουγγάριος ὁ Λακαπηνός, ἐξαρτύσας τὸν στόλον* 24
*ὥσπερ εἰς ναυμαχίαν κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ τοῖς
βασιλείοις προσέπλευσεν εἰς τὸν Βουκολέοντα. καὶ ὁ μὲν πα-* 25
D IV 57 *τριάρχης καὶ ὁ μάγιστρος Στέφανος εὐθὺς ἐκ τῶν ἀνακτόρων*

9 *ὅτι ὁ βασιλεὺς κατενεγκεῖν τὴν ἑαυτοῦ μητέρα τοῦ παλατίου ἐπεχείρει, τοῖς δὲ δάκρυσιν ἐκείνης μαλαχθεὶς ἀφῆκεν αὐτήν* E

1 *προςυπήντησε* ARp (v. Cedr. (Scylitz.) II p. 290, 1), *προυπήντησε* Dww 2 *περὶ*] *παρὰ* D *πῶς* ARwp, corr. *Di* 3 *ἄνδρας ἔχων* B *αὐτῷ παρεπ.* D *αὐτῷ* om. C 8. 9 *τὸ ναυτικὸν* post *πεμφθέντας* O 9 *ἐξεδίωξε* Owp *τῇ*] *τῆς* D 12 *προςφύσης* E *ἐκλήθη* B, *ἐκλίθη* ex *ἐκλήθη* corr. A 13 *μετήνεγκε* Rwp*Di*, *μετήνεγκεν* A, v. ad XIII 1, 5 14 *τὸν μαγ. ἰωάννην τ. γαριδᾶν* O 16 *ναυμαχίαν* AR*Wo* lat., *ναυαρχίαν* Ewp *ἡμέραν* ARwp Cedr. (Scylitz.) II p. 292, 16, *ὥραν* Dw

in modum ei obviam processit ac reverenter colloquens paullatim
hominem ad triremes deduxit. Ut vero navi praetoriae appro- 18
pinquavit, multis viris strenuis, quos secum paratos habebat, "Tol-
lite istum" inquit; a quibus comprehensus est et triremi im- 19
positus, comitibus illius statim dispersis. Eius facti nuntius et 20
reginam et proceres turbavit; cumque ad Romanum misisset 21
percontatum, quid hoc sibi vellet, legati a classiariis lapidibus
sunt repulsi. Postridie rex patriarcha et magistro Stephano arces- 22
sitis misit, qui matrem e regia abducerent. Sed eam amplexibus 23
cum lacrimis sibi inhaerentem, misericordia victus, reliquit, sed
potestate in se translata domesticum scholarum designavit Ioan-
nem Garidam magistrum. Drungarius vero Lacapenus, classe 24
haud secus atque ad pugnam instructa, die annuntiationis ad
regiam in Bucoleontem appulit. Ac patriarcha et Stephanus ma- 25

ἐξέστησαν, ὁ δὲ Ῥωμανὸς ὅρκους πρότερον τελέσας φρικω-
B δεστάτους μήποτε κατὰ τοῦ βασιλέως φρονῆσαι μηδ' ἐπιθέσθαι
26 τῇ βασιλείᾳ, ἀνῆλθεν εἰς τὰ βασίλεια· καὶ εἰς τὸν ἐν τῷ Φάρῳ
ναὸν τῷ Κωνσταντίνῳ συνεισελθὼν καὶ πίστεις δούς τε καὶ
27 εἰληφὼς μέγας ἑταιρειάρχης προβάλλεται. ἐπέστειλε δὲ τῷ
Φωκᾷ ὁ βασιλεὺς μὴ ἀθυμῆσαι μηδ' ἀπογνῶναι, προσμεῖναι
δὲ μικρόν, ὡς μελλούσης αὐτῷ γενέσθαι προνοίας μετὰ βραχύ.
28 Ὁ δὲ Ῥωμανὸς τὴν ἑαυτοῦ θυγατέρα Ἑλένην μνηστεύεται
τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τῇ τρίτῃ τοῦ πάσχα τετέλεστο
τὰ γαμήλια, τοῦ πατριάρχου Νικολάου τὴν ἱερολογίαν ποιή-
29 σαντος· καὶ αὐτίκα τετίμηται βασιλεοπάτωρ ὁ Ῥωμανός, μέγας
30 δ' ἑταιρειάρχης Χριστοφόρος ὁ τούτου υἱός. ταῦτα δὲ μαθὼν
C ὁ Φωκᾶς τυραννίδι ἐπέθετο, Κωνσταντῖνον τὸν παρακοιμώ-
μενον προσλαβόμενος καὶ ἑτέρους τῶν ἀρχόντων καὶ διαβε-
βαιούμενος ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου πράττειν ὃ πράττει.
31 ὁ Ῥωμανὸς δὲ γραφὴν γεγραφὼς ἀνατροπὴν περιέχουσαν τῆς
τοῦ Φωκᾶ προφάσεως καὶ ταύτην τῇ τοῦ βασιλέως ὑποσημασίᾳ
καὶ χρυσῇ σφραγῖδι βεβαιωσάμενος, πέμπει ταύτην παρὰ τὸ μετὰ
32 τοῦ Φωκᾶ στράτευμα μετά τινος γυναίου ἑταιρικοῦ. κἀκεῖνο

8 ὅτι τὴν ἑαυτοῦ θυγατέρα ἐμνηστεύσατο ὁ Λακαπηνὸς τῷ Κωνσταντίνῳ E
12 ὅτι ὁ Φωκᾶς Λέων τυραννίδι ἐπικεχείρηκε καὶ ἁλοὺς ἐτυφλώθη AE

1 ἀπήλθοσαν O 3 τὰ om. E 4 καὶ prius om. O δούς τε πίστεις O 7 αὐτοῦ BCwp προν. γενέσθαι D 8 ἐλένην A^{s}R^{s}w, corr. *B-W*, v. ad p. 1, 3 11 τετίμητο Rwp 12 ταῦτα δὲ AEwp, ἃ O 16 δὲ om. D 17 τὴν D, τῇ corr. D$_w$ 18 σφραγῖδι O*Di*, σφραγίδι AEwp παρὰ A, πρὸς Rwp 19 μετὰ om. B

gister statim ex regia discesserunt. At Romanus, cum prius
sanctissimo iureiurando adactus promisisset se nunquam regi
26 insidiaturum neque regnum affectaturum, in regiam ascendit et
cum Constantino Phari aedem ingressus, fide data acceptaque,
27 magnus hetaeriarcha designatur. Scripsit autem rex Phocae,
bono esset animo neve spem abiceret, sed paullisper exspectaret;
nam paullo post eius rationem habitum iri.
28 Romani tum filia Helena regi Constantino desponsa, tertia feria
Paschatis nuptiae celebratae sunt, sacras preces peragente Nicolao
29 patriarcha. Statim igitur Romanus regis pater, filius eius Christo-
30 phorus magnus hetaeriarcha est appellatus. Quibus Phocas cognitis
tyrannidem invasit, Constantino cubiculario et aliis proceribus asci-
31 tis, se ea, quae ageret, pro rege Constantino agere affirmans. Roma-
nus autem litteras, quae Phocae praetextum everterent, regis sub-
scriptione et aureo sigillo munitas per vulgati corporis mulier-
32 culam in Phocae castra mittit; quam bullam auream cum ea

*πολλοῖς τὴν χρυσοσήμαντον ὑποδεικνύον λάθρᾳ γραφὴν πολ-
λοὺς καταλιπεῖν πεποίηκε τὸν Φωκᾶν καὶ προσχωρῆσαι τῷ βα-
σιλεῖ. ὁ δὲ Φωκᾶς ἐν Χρυσοπόλει γενόμενος καὶ καταλειφθεὶς* 33
ὑπὸ τοῦ μετ' αὐτοῦ πλήθους τῷ βασιλεῖ προσφοιτήσαντος ἐτρά- D
*πετο εἰς φυγὴν καὶ ἔν τινι χωρίῳ γενόμενος, ὅπερ παρὰ τῶν
ἐγχωρίων Γοηλέων κατωνομάζετο, συλλαμβάνεται καὶ τυφλωθεὶς*
D IV 58 *εἰσάγεται εἰς τὴν βασιλεύουσαν· καὶ τοῦτο τέλος τῇ αὐτοῦ τυ-
ραννίδι ἐγένετο. ἀλλὰ μὴν καὶ ἑτέρα ἐπιβουλὴ κατὰ τοῦ βα-* 34
*σιλέως συνέστη· νεανίας γάρ τινες καθῆκαν κατ' αὐτοῦ θη-
ρῶντος, ἵνα αὐτῷ ἐν τῇ θήρᾳ ἐπίθωνται. ἀλλ' ἐγνώσθη τὸ* 35 W III 151
βούλευμα, καὶ οἱ πρωτουργοὶ ἐκολάσθησαν.

Ἐξεβλήθη δὲ τῶν βασιλείων καὶ ἡ τοῦ βασιλέως μήτηρ 36
*Ζωή, ὡς ἐπιβουλεύουσα δῆθεν τῷ βασιλεοπάτορι, καὶ ἀπεκάρη
ἐν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ. τῇ δὲ κδ' τοῦ Σεπτεβρίου* 37 P II 188 A
*μηνὸς εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀνήχθη ὁ Ῥωμανὸς καὶ
κατὰ τὸν Δεκέμβριον τῷ τῆς βασιλείας διαδήματι τεταινίωτο
παρὰ τοῦ πατριάρχου Νικολάου τοῦ Κωνσταντίνου δῆθεν ἐπι-
τροπῇ.*

Καὶ ὁ μὲν Λακαπηνὸς Ῥωμανὸς οὕτω τῆς ἀναρρήσεως 18
ἔτυχεν, οὐκ ἠγάπα δὲ ταύτης τυχὼν αὐτός, ἀλλὰ μετὰ βραχὺ

8 *ἐπιβουλὴ κατὰ τοῦ βασιλέως* E 19 *βασιλεία Ῥωμανοῦ* (om. B) *τοῦ Λακαπηνοῦ* AR

1 *χρυσήμαντον* C 3. 4 *κα|ταλ . . . . . ὑπὸ* D, lac. suppl. D_w 5 post *ὅπερ* add. *ἀνέκαθεν* Rwp 9 *νεανίαι* D 10 *ἵν'* O*Di* *ἐγνώθη* w*p invitis AR^s 14 *εἰκοστῇ τετάρτῃ* Rwp*Di* *σεπτε-βρίου* AR, *σεπτεμβρίου* B^{s}Cwp*Di*, v. ad XVIII 6, 3. 9, 11 17 *τῶν κ.* D, *τοῦ κ.* corr. D_w 19 *|αὶ* A omisso *K* a rubricatore

multis clam ostenderet, effecit, ut multi Phoca deserto se ad re-
gem conferrent. Phocas autem Chrysopolim profectus et a suis 33
destitutus in fugam convertitur et in castello quodam, quod Goë-
leon ab indigenis vocabatur, comprehenditur caecatusque By-
zantium perducitur. Hic tyrannidis illius fuit exitus. Tamen 34
aliae quoque insidiae regi sunt paratae; nam adulescentes per
quosdam conducti sunt, qui eum venantem aggrederentur; sed illo 35
consilio cognito de auctoribus facinoris supplicium sumptum est.

Est et regis mater Zoë regia eiecta, cum patri regis insi- 36
diari videretur, tonsoque capillo S. Euphemiae monasterium in-
gressa est. Romanus vero XXIV. die mensis Septembris ad Cae- 37
saris dignitatem est evectus et mense Decembri Constantini per-
missu imperii diademate ornatus a patriarcha Nicolao.

18. Romanvs Lacapenvs iis honoribus non contentus paullo

*καὶ τὴν οἰκείαν ὁμευνέτιν τὴν Θεοδώραν ταινιοῖ, εἶτα καὶ τὸν
υἱὸν Χριστοφόρον, προαιρέσει μὲν τῷ δοκεῖν τοῦ Κωνσταντίνου,
τῇ δ' ἀληθείᾳ βιαζομένου ἀσχάλλοντός τε πρὸς οὓς ἐθάρρει
καὶ ἐν συμφορᾷ τιθεμένου τὰ πραττόμενα, μὴ θαρροῦντος δὲ
2 ἀντερεῖν. ἐπιβουλῆς δὲ κατὰ τοῦ Ῥωμανοῦ γενομένης, ἧς ὁ
B σακελλάριος πρωτουργὸς ἦν Ἀναστάσιος, ὡς τῷ Κωνσταντίνῳ
δῆθεν ἀμύνων, ἐγνώσθη τὰ κατ' αὐτήν, καὶ οἱ μὲν συνίστορες,
ὡς ἔδοξε τῷ Ῥωμανῷ, ἐκολάσθησαν, ὁ δὲ σακελλάριος ἀπε-
3 κάρη. ἣν δὲ πρόφασιν ἔσχεν ὁ Ῥωμανὸς τοῦ ὑποβιβάσαι τὸν
Κωνσταντῖνον ἑαυτοῦ, μέχρι τότε πρῶτον εὐφημούμενον ἐν ταῖς
ἀναρρήσεσιν.
4 Ὁ Συμεὼν δὲ κατὰ τῆς πόλεως ἐκπέμπει στρατόν· ἵνα
δὲ μὴ ἐλθόντες τὰς πρὸ τῆς πόλεως διαφθείρωσιν ἀγλαΐας,
5 ἔπεμψε καὶ ὁ Ῥωμανὸς τοὺς ἀντιταξομένους αὐτοῖς. καὶ τῶν
Βουλγάρων ἐπελθόντων αὐτοῖς πίπτουσι μὲν καὶ τῶν ἀρχόντων* D IV 59
*πολλοί, τῶν δέ γε στρατιωτῶν οἱ μὲν εἰς τὰς τριήρεις σπεύ-
δοντες ἐμβῆναι παραπλεούσας εἰς τὴν θάλασσαν ἐξωλίσθαινον
C καὶ ὑπὸ κυμάτων ἐφέροντο, οἱ δὲ ὑπὸ τῶν πολεμίων διώλ-
6 λυντο, οἱ δὲ καὶ ζῶντες συνελαμβάνοντο. οὕτω δὲ διατεθείσης
τῆς Ῥωμαϊκῆς στρατιᾶς κατὰ τὰς Πηγάς, τά τε ἐκεῖ ὄντα ἀνά-
κτορα οἱ Βούλγαροι ἐπυρπόλησαν καὶ τἆλλα ὅσα ἐν τῷ αἰγιαλῷ*

1 ante *ταινιοῖ* add. *διαδήματι* D 3 *ἀσχάλοντος* ED, corr. Dw 5 *ἀντερεῖν* Rwp, *ἀντειπεῖν* D, *ἀνταιρεῖν* A, unde *ἀνταίρειν* *Di* 15 *αὐτοῖς* AO, *αὐτὸν* E, *αὐτῷ* w*p 17 *ἐμβληθῆναι* D *παραπλ. ἐμβῆναι* C *ἐξωλίσθαινον* ante *εἰς* Ewp 18 ante *κυμάτων* add. *τῶν* CD 19 *δὲ* alterum om. E 20. 21 *ὄντα* ante *οἱ* C

post uxorem quoque suam Theodoram diademate ornat, deinde et filium Christophorum voluntate, ut videri volebat, Constantini, sed re vera invito illo et conquerente apud eos, quibus fidebat,
2 et acta illa abominante, quamvis refragari non auderet. Insidiis, quas Romano Anastasius sacellarius, princeps coniurationis, pro defensione utique Constantini paraverat, deprehensis, conscii
3 arbitratu Romani puniti sunt, sacellarius tonsus. Eaque Romano occasio fuit Constantini infra se collocandi, cum is hactenus in proclamationibus et salutationibus priorem locum tennuisset.
4 Cum Symeon exercitum contra urbem misisset, Romanus quoque milites hostibus opposuit, ne suburbanae amoenitates ab
5 iis vastarentur. Quos cum Bulgari aggressi essent, multi etiam ex principibus ceciderunt, milites partim ad praetereuntes triremes festinantes in mare prolapsi fluctibus ferebantur, partim ab
6 hostibus interibant, partim vivi capiebantur. Romano exercitu ad Pegas sic accepto, Bulgari regiam illius loci cremarunt et

τοῦ κατ' ἀντικρὺ τῆς πόλεως ἦσαν διακειμένου πορθμοῦ. θα- 7
νούσης δὲ τῆς τοῦ Ῥωμανοῦ συμβίου τῆς Αὐγούστης Θεοδώ-
ρας ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ Σοφία τοῦ τῆς Αὐ-
γούστης ἠξιώθη ὀνόματος.
Ὁ τῶν Βουλγάρων δ' ἐξηγούμενος Συμεὼν τῇ Ἀδριανου- 8
πόλει προσέβαλε καὶ ταύτην ἐπολιόρκει. ἤνυσε δ' ἂν οὐδέν, 9
εἰ μὴ τοῖς ἔνδον ἐπιλελοίπει τὰ ἐπιτήδεια· βιαζόμενοι γὰρ τῷ
λιμῷ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν τοῖς πολεμίοις παρέδωκαν.
τότε μέντοι καὶ ὁ ἐκ Τριπόλεως Λέων μετὰ δυνάμεως ναυτικῆς 10 D
κατὰ Ῥωμαίων ἐχώρησεν· ἀλλὰ τούτῳ περὶ τὴν νῆσον Λῆμνον
τριήρεις ἐπελθοῦσαι Ῥωμαϊκαὶ τοὺς μὲν Ἀγαρηνοὺς σχεδόν τι
ξύμπαντας διεφθάρκασι, τὰς δὲ νῆας αὐτῶν ὑποβρυχίους ἐποίη-
σαν, μόλις τοῦ Τριπολίτου φυγεῖν ἐξισχύσαντος. καὶ ὁ Βούλ- 11
γαρος δὲ Συμεὼν τά τε κατὰ Μακεδονίαν καὶ τἀπὶ Θρᾴκης
σὺν βαρεῖ στρατεύματι ἐληΐζετο καὶ παρὰ τὴν πόλιν ἐλθὼν ἀγχοῦ
τῶν Βλαχερνῶν πεποίητο τὴν παρεμβολὴν καὶ τῷ βασιλεῖ Ῥω-
μανῷ ἐζήτησεν ἐντυχεῖν. καὶ τὴν ἔντευξιν ὁ βασιλεὺς ἠρετί- 12
σατο καὶ κατὰ τὸν τοῦ Κοσμιδίου αἰγιαλὸν ὁ μὲν βασιλεὺς σὺν

5 *ὅτι ἥλω παρὰ τῶν Βουλγάρων ἡ Ἀδριανούπολις* E 9 *ὅτι ὁ ἐκ Τριπόλεως στόλος ἀπώλετο* E 15 *ὅτι ὡμίλησαν ἀλλήλοις ὁ βασιλεὺς Ῥωμαίων καὶ ὁ Συμεών, οὐκ εἰρήνευσαν δέ* E

1 *καταντικρὺ* Rwp 5 *ἀνδριανουπόλει* D, corr. D_w 6 ante *προσέβαλε* add. *πάλιν* O*Wo* lat. 7 *γὰρ* AO, *δὲ* Ewp 8 *τὴν πόλιν* Rwp*Di*, *τῇ πόλει* A *παρέδοσαν* Rwp 9 *μέντοι* AO, *μὲν* Ewp 10 *λῆμνον* post *τὴν* B 11 *ναυτικαὶ* D, *ῥωμαϊκαὶ* corr. D_w 17 *ἐξήτησεν* E ante *ὁ* add. *καὶ* Owp 17. 18 *ἠρετίσατο—βασιλεὺς* om. E 17 *ἡρετίσατο* AD_w, *ἠρετίσατο* C, *ἡρετίσατο* BD, *ἠρετήσατο* w*p 18 *κοσμιδίου* Rwp*Di* Cedr. (Scylitz.) II p. 304, 14, *κοσμηδίου* A

cetera, quae in eo litore sunt e regione urbis, interiacente freto.
Mortua Romani uxore Augusta Theodora, regis Christophori 7
uxor Sophia Augustae nomen accepit.
At Bulgarorum princeps Symeon Adrianopolim obsedit, ne- 8. 9
que sane quicquam effecisset, nisi cives commeatu destitutos et
semet ipsos et urbem hosti dedere fames coëgisset. Tunc etiam 10
Leo Tripolitanus cum navalibus copiis Romanos invasit, cui tri-
remes Romanae prope Lemnum insulam obviam profectae Aga-
renos omnes fere occiderunt navesque demerserunt, Tripolita aegre
fuga elapso. Bulgarus vero Symeon, Macedonia et Thracia cum 11
ingenti exercitu devastata, ad urbem profectus, prope Blachernas
castris positis colloquium regis Romani petivit; qui cum ab eo 12
non abhorreret, ipse cum classe ad Cosmidii litus abiit, eodem-

τῷ στόλῳ ἀφίκετο, ὁ δέ γε Συμεὼν μετὰ τῆς οἰκείας παρ-
P II 189 A εγένετο στρατιᾶς, καὶ ὡμίλησαν· καὶ ὁ βασιλεὺς μεγαλοπρεπῶς
13 τῷ Συμεὼν ἐδωρήσατο. ἀσύμβατοι δὲ ἀπ' ἀλλήλων διέστησαν, D IV 60
14 ὃ καὶ δυὰς ἔδοξε δηλῶσαι ἀετῶν. φασὶ γὰρ ἄνωθεν αὐτῶν διαπτῆναι τούτους καὶ ἀλλήλοις συμμίξαι μετὰ κλαγγῆς, εἶτ'
W III 152 εὐθὺς διαστῆναι ἀλλήλων, τοῦ μὲν ἐπὶ τὴν πόλιν ἀποπτάντος, τοῦ δ' ἐπὶ Θρᾴκην κινήσαντος τὸ πτερόν.

15 Ὁ βασιλεὺς δὲ Ῥωμανὸς ἀπληστευσάμενος ἐπὶ τῇ τῆς βασιλείας ἀρχῇ καὶ ὥσπερ ἐπιλελησμένος τῶν ὅρκων, οὓς ὠμωμόκει καθ' ἱερῶν, καὶ μὴ ἀρκούμενος ὅτι ἑαυτὸν καὶ τὸν τῶν υἱέων πρεσβύτερον ἠξίωσε διαδήματος, καὶ τοὺς λοιποὺς δύο τῶν παίδων αὐτοῦ βασιλικῶς τεταινίωκεν, εἶτα καὶ τὸν ἐκ τοῦ Χριστοφόρου γενόμενον αὐτῷ υἱωνόν, καὶ τὴν τῶν Ῥωμαίων
B 16 ἀρχὴν ἀντὶ βασιλείας εἰς πολυαρχίαν μετήνεγκε. τῷ τελευταίῳ δὲ τῶν υἱῶν αὐτοῦ Θεοφυλάκτῳ τὸν θρόνον τὸν ἀρχιερατικὸν τῆς βασιλίδος τῶν πόλεων μνηστευόμενος ἀπέκειρε κληρικόν,
17 διὰ τοῦ πατριάρχου προχειρισθέντα καὶ σύγκελλον. τοῦ πατριάρχου δὲ Νικολάου ἔτη τρισκαίδεκα τὸ δεύτερον τῆς ἐκκλησίας κρατήσαντος καὶ μεταθεμένου τὴν βιοτήν, ὁ μητροπολίτης

4 σημείωσαι E 17 μετάθεσις τῶν ἀρχιερέων (-έως E) E

1 τῷ om. DE 2 ante ὡμίλησαν add. ἀλλήλοις Rwp 4 δύας p* δηλοῦν O 7 δὲ D 8 Ὁ om. C 9 ὀμωμόκει B[a]Ewp, ὁμωμόκει R 10 ἑαυτὸν Rwp*Di*, ἑαυτῶν A τὸν Rwp*Di*, om. A 13 υἱὸν E 14 βασιλείας AE, μονάρχου (μοναρχίας D) βασιλείας Owp 17 σύγκελον Ewp

que Symeon cum suis copiis venit; et inter se collocuti sunt; sed
13 quamvis rex Symeoni magnifica munera dedisset, rebus infectis
14 discesserunt, id quod par aquilarum significare videbatur; quas supra eos volitasse ferunt et cum clangore inter se congressas statimque segregatas esse, altera urbem versus volante, altera in Thraciam tendente.

15 Rex Romanus potestate regni non saturatus ac velut oblitus sacramenti, quo sese astrinxerat, suo et filii natu maximi diademate non contentus, etiam reliquos duos filios et nepotem ex Christophoro corona ornavit, Romano imperio, quod hactenus
16 penes unum esse consueverat, in multa capita distributo. Filium natu minimum Theophylactum, cui pontificatum urbis regiae ambiebat, detonsa coma clericum fecit, a patriarcha syncellum
17 quoque designatum. Post obitum Nicolai, qui restitutus sedem per annos XIII tenuit, Stephanus, metropolita Amasenus, patriarcha Cpolitanus est designatus.

Ἀμασείας Στέφανος εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως
μετήνεκτο.
Ὁ μέντοι τῶν Βουλγάρων ἄρχων ὁ Συμεών, ἀνὴρ ὢν 18
αἱμάτων, ἡσυχίαν ἄγειν οὔποτε ὅλως προῄρητο· ὅθεν κατὰ τοῦ 19
ἔθνους τῶν Χροβάτων ἐστράτευσεν, ἀλλ' ἥττητο ὑπ' ἐκείνων,
κἀν ταῖς τῶν ὀρῶν δυσχωρίαις τὸ οἰκεῖον ἀπέβαλε στράτευμα.
ἐν τούτῳ δὲ πρόσεισί τις τῷ βασιλεῖ Ῥωμανῷ, λέγων τὴν ἄνω- 20 C
θεν τῆς ἐν τῷ Ξηρολόφῳ ἀψῖδος καθιδρυμένην στήλην καὶ
πρὸς τὰ ἑσπέρια ἀποβλέπουσαν εἰς τὸν Συμεὼν ἐστοιχειῶσθαι
τὸν Βούλγαρον, καὶ εἰ τὴν ταύτης ἀποτέμῃ τις κεφαλήν, ἕψεται
D IV 61 τῇ ἐκτομῇ τοῦ Συμεὼν ἡ φθορά. ὁ μὲν οὖν εἶπε ταῦτα, καὶ 21
ἡ κεφαλὴ τῆς στήλης οὐκ εἰς μακρὰν ἐξετέτμητο, καὶ τῷ Συ-
μεὼν αὐθωρὸν ἐπέλιπε τὸ βιώσιμον, ληφθέντι καρδιωγμῷ, ὡς
μετὰ ταῦτα ἐγνώσθη τῷ βασιλεῖ ἀκριβωσαμένῳ τῆς ἐκείνου
τελευτῆς τὸν καιρόν. ὡς δ' ἐξ ἀνθρώπων ὁ Συμεὼν ἀπελή- 22
λυθεν, ἡ τῶν Βουλγάρων ἀρχὴ πρὸς Πέτρον τὸν ἐκ τῆς δευ-
τέρας αὐτοῦ γυναικὸς αὐτῷ τεχθέντα περιελήλυθεν. ὅς, ἐπεὶ 23
καὶ λιμῷ τὸ τῶν Βουλγάρων ἔθνος ἦν πιεζόμενον καὶ τὰ πέριξ D

7 σημείωσαι E 15 ὅτι Πέτρος ὁ τοῦ Συμεὼν υἱὸς ἐσπείσατο καὶ συνήφθη αὐτῷ ἡ τοῦ βασιλέως ἐγγόνη E

1 ἀμασίας AB Hierocl. 701, 3 Burckhardt, ἀμασείας RwpDi Cedr. (Scylitz.) II p. 307, 3, v. ad XVI 19, 5. XVII 1, 2. 2, 2. XVIII 16, 32 4 ante κατὰ add. καὶ Rwp 5 χροβάτων AR, χρωβάτων Cedr. (Scylitz.) II p. 307, 21, Theoph. contin. p. 411, 14, χραβάτων w*p; aliis locis Zonaras eundem Scylitzis usum secutus Χορβάτους affert, v. ind. histor. 6 στράτευμα ἀπεβάλετο D 7 ῥωμαίων D Wo lat. 8 ἀιψίδος AD, ἁψίδος CEDwwp, ἀψῖδος BsDi 9 ἐστοιχιῶσθαι Ewp 10 ἀποτέμη A, ἀποτέμει E, ἀποτέμοι Owp 11 τοῦ . . . μεθὼν ἡ E 12 ἀποτέτμητο D 13 καρδιογμῷ E(wp) 18 καὶ prius om. D τὸ ante ἔθνος C

At Bulgarorum princeps Symeon, homo sanguinarius et 18
quietis impatiens, genti Chrobatorum bellum intulit, sed ab illis 19
victus in montium angustiis suum exercitum amisit. Interea 20
quidam Romano nuntiat statuam in summo fornice Xerolophi
versus occasum positam in Symeonis Bulgari fatum esse conver-
sam; cuius statuae caput si amputetur, Symeonis interitum conse-
cuturum. Quo paullo post facto eadem hora Symeonem cordis 21
morbo vita defecit, ut post regi tempus obitus eius diligenter
scrutato est significatum. Symeone rebus humanis exempto, Bul- 22
garorum principatus ad Petrum, eius filium ex altera uxore ge-
nitum, venit, qui, cum et Bulgarorum gens fame premeretur et 23
finitimorum populorum ac Romanorum imprimis arma timerentur,

ἔθνη μὴ κατ' αὐτοῦ ὁρμήσαιεν ἐδεδίει καὶ πρὸ τῶν ἄλλων Ῥωμαίους, στέλλει πρὸς τὸν βασιλέα, σπονδὰς ποιησόμενος, εἰ
24 *δ' αἱροῖτο, καὶ κῆδος εἰς ἑαυτόν. ὡς δὲ τῷ βασιλεῖ καὶ ἄμφω καταθύμια ἔδοξε τὰ αἰτούμενα, καὶ αὐτὸς ὁ Πέτρος ἀφίκετο, καὶ γεγόνασι μὲν συνθῆκαι περὶ σπονδῶν, συνήφθη δὲ αὐτῷ πρὸς συμβίωσιν γαμικὴν καὶ ἡ τοῦ βασιλέως ἐγγόνη, ἣ ἐκ τοῦ πρεσβυτέρου τῶν υἱῶν αὐτοῦ τοῦ Χριστοφόρου γεγέννητο.*
19 *Ὁ δὲ βασιλεὺς Ῥωμανὸς οὐκ ἀρκοῦν ἡγούμενος ὅτι ἑαυτοῦ τὸν βασιλέα Κωνσταντῖνον ὑπεβίβασε, λαβὴν ἐζήτει καὶ τὸν Χριστοφόρον προθεῖναι αὐτοῦ· καὶ παρεσκεύασε τὴν τῶν Βουλγάρων πληθὺν ἐν τῷ τοῦ γάμου καιρῷ στασιάσαι, ζητοῦ-*
P II 190 A *σαν τὸν Χριστοφόρον πρὸ τοῦ Κωνσταντίνου ἀναγορεύεσθαι, καὶ διὰ τὴν στάσιν δῆθεν οἰκονομῶν τι παρεχώρησε τὸ αἰτού-*
2 *μενον γίνεσθαι. εἶτα μήτε τὸ θεῖον δείσας, ὃ τὰς ὁμολογίας αὐτῷ ἐμπεπέδωκε, μήτ' αἰδεσθεὶς τὸ ὑπήκοον, καὶ ἄμφω τοὺς ἄλλους υἱεῖς αὐτοῦ τοῦ Κωνσταντίνου προτέρους εὐφημεῖσθαι πεποίηκε, καὶ ὁ πρῶτος πέμπτος ἐγένετο, καὶ εἰ μὴ ὁ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἔφθη θανών, κἀκεῖνος ἂν*

8 *ὅπως καὶ τὸν υἱὸν αὐτοῦ Χριστοφόρον προεβίβασε τοῦ βασιλέως Κωνσταντίνου, εἶτα τοὺς λοιποὺς δύο* E

1 *ὁρμῆσαι ἐν* D, corr. Dw 5 *συνθήκαι* ADE, corr. Dw 6 ante *πρὸς* add. *καὶ* Owp *καὶ* om. BD 7 *γεγένητο* B[s]Dwp, v. ad XIII 1, 2 8. 9 *ἑαυτοῦ* post *κωνσταντῖνον* O 9 *εἰςεβίβασε* D, corr. Dw *λαβὴν* Rwp*Di*, *λάβεῖν* A 10. 12 *χριστόφορον* Ewp 10 *προςθεῖναι* B 12 *τὸν χριστ.* post *κωνσταντίνου* Rwp 13 post *δῆθεν* add. *ὡς ἐκ βίας* Owp 14 *ᾧ* D 15 *αὐτοῦ* B[s]DEwp 18 *ὁ—υἱὸς* om. D *Wo* lat.

legatos ad regem de pace et, si placeret, etiam de affinitate iun-
24 genda mittit. Cui cum utrumque cordi esset, ipse Petrus Byzantium venit et pace facta neptem regis ex Christophoro, filio natu maximo, uxorem ducit.

19. Rex Romanus eo non contentus, quod Constantinum infra se collocarat, occasionem quaeritat etiam Christophori illi praeponendi; itaque instructa Bulgarorum turba, quae temporibus nuptiarum illarum postularet, ut Christophorus ante Constantinum nominaretur, quasi propter motum illum necessitati cedens
2 postulatis illorum annuit. Deinde neque deum veritus, cuius numine invocato pactiones firmarat, neque subiectorum pudore deterritus etiam duos reliquos suos filios ante Constantinum salutari iussit; ita primus factus est quintus eique minor etiam Romanus, Christophori filius, praepositus esset, nisi ante deces-

αὐτοῦ προτετίμητο. ἦν οὖν ὁ αὐθιγενὴς βασιλεὺς καὶ ᾧ κατὰ 3
D IV 62 *κλῆρον ἡ βασιλεία διέφερεν ὥσπερ παρέγγραπτος. ἀλλ' ἐπὶ* 4
τούτοις ἡ δίκη οὐκ ἐπενύσταξεν· ἀναβεβλήσθω δ' ἡ περὶ τού-
των διήγησις.

Ὁ Ἀμασείας δὲ Στέφανος ἔτη τρία διαγαγὼν ἐν τῷ θρόνῳ 5 B
τῆς ὑπερκειμένης τῶν πόλεων ἐτελεύτησε, καὶ ἐχειροτονήθη
Τρύφων τις μοναχὸς ἐπὶ συνθήκαις τοῦ μετὰ χρόνον ὡρισμένον
ἑκὼν ἐκστῆναι τοῦ θρόνου τῷ τοῦ βασιλέως υἱῷ τῷ Θεοφυ-
λάκτῳ· ἦν γὰρ ἔτι μειράκιον. γέγονε δ' ἐν τοῖς χρόνοις τού- 6 W III 153
τοις χειμών τε ἀφόρητος λιμός τε σφοδρότατος καὶ ἐμπρησμὸς
φρικωδέστατος. ὅτε καὶ ὁ βασιλεὺς Χριστοφόρος τὴν ζωὴν 7
ἐξεμέτρησεν. ἤδη δὲ τοῦ ὡρισμένου καιροῦ παραρρυέντος ὁ 8
πατριάρχης Τρύφων οὐ μεθίετο τοῦ θρόνου τοῦ ἀρχιερατικοῦ
κατὰ τὰ συγκείμενα, ἀλλ' ὅλαις χερσὶ τῆς ἀρχιερωσύνης ἀντεί- C
χετο. καὶ ὁ βασιλεὺς ἠνιᾶτο διὰ τὴν ἀπάτην, ὡς ἐμπαιχθείς. 9
ὁ γοῦν Καισαρείας χαρίσασθαι τῷ βασιλεῖ προθυμούμενος δόλῳ 10
μέτεισι τὴν τοῦ πατριάρχου ἀφέλειαν καὶ φίλου προσωπεῖον
ἑαυτῷ περιθέμενος τῷ πατριάρχῃ φησίν "ἡ μὲν κατὰ σοῦ τοῦ 11
κρατοῦντος ἐπίθεσις σφοδρά, ἀλλ' ἐπιλείπουσιν αὐτῷ αἰτιάματα

5 *περὶ πατριαρχῶν* E   11 *τελευτὴ τοῦ βασιλέως Χριστοφόρου* E

3 post *ἐπενύσταξεν* add. *εἰ δὲ καὶ σχολαίω στείχουσα* (*στείβουσα* B) *ἧκε ποδὶ, ἀλλάγε ἧκε ποτέ* O(wp) 5 *ἀμασίας* AEB_1, *ἀμασείας* Rwp*Di*, v. ad XVI 18, 17 *ἐπὶ τρία ἔτη* D 7 *χρόνου* w*p 9 *ἔτι*] *οὔπω* O *δὲ* D 12 *παραρρ. καιροῦ* O 13 *τοῦ τοῦ πατριαρχικοῦ* E, *τοῦ πατριαρχικοῦ* wp 14 *ἀρχιεροσύνης* w*p 18. p. 476, 2. 6 s. *κατά σου* w*p invitis AR

sisset. Itaque indigena rex, ad quem hereditario iure regnum 3
pertinebat, instar ascripticii fuit. Ceterum vindicta sui muneris 4
non est oblita — sed hoc alio loco narrabitur.
Stephano Amaseno, cum sedem principis urbis per trien- 5
nium occupasset, mortuo, Tryphon monachus quidam ea condi-
tione successit, ut post certum tempus Theophylacto, regis filio,
puero adhuc ultro sede cederet. His temporibus saevissima 6
hiems fuit et fames maxima et horrendum incendium. Tum 7
quoque rex Christophorus obiit. Iam praefinito tempore elapso 8
patriarcha Tryphon sede pontificia, ut convenerat, cedere noluit,
sed eam retinere manibus pedibusque est conatus. Rege autem 9
aegre ferente, quod ludibrio habetur, Caesariensis, ut regi gra- 10
tificaretur, patriarchae simplicitatem dolo circumvenit assumpta-
que amici persona illi ait: "Imperator vehementer sane te op- 11
pugnat, sed desunt ei crimina, ob quae loco moveri possis, et

ὑπὸ καθαίρεσίν σε τιθέμενα, καὶ λοιπὸν εἰς τὸ μηδὲ ὅλως εἰ-
12 *δέναι σε γράμματα οἱ κατὰ σοῦ περιίστανται. ἀλλὰ σπεῦσον*
13 *καὶ τούτου τοὺς μελετῶντας κατὰ σοῦ ἀποκρούσασθαι. διαλύ-*
σεις δὲ τούτοις τὸ σπούδασμα, εἰ ἐνώπιον πολλῶν χάρτην λα-
βὼν τὸ ὄνομα ἐγχαράξεις τὸ σὸν καὶ τὸ τῆς ἀρχιερωσύνης
D 14 *ἀξίωμα. καὶ τούτου ἀποκομισθέντος τῷ βασιλεῖ οὐκέτι κατὰ*
15 *σοῦ αἰτίαμα περιλέλειπται.*" *ὁ μὲν οὖν συνεβούλευσε ταῦτα·*
ὁ δὲ ἐπείθετο καὶ πολλῶν παρόντων ἀγράφῳ χάρτῃ ταῦτ' ἐγε-
γράφει· "*Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπό-*
16 *λεως νέας Ῥώμης.*" *καὶ λαβὼν τὸν χάρτην ὁ Καισαρείας ἀπῄει* D IV 63
17 *ἐμφανίσων τοῦτον τῷ βασιλεῖ. ἔγγραφον οὖν ἐν αὐτῷ παραι-*
τήσεως ὡς ἐκ τοῦ πατριάρχου ἄνωθι τῆς ὑπογραφῆς ἐξυφαί-
νεται, καὶ ὡς παραιτησάμενος τῆς ἐκκλησίας ἐκβάλλεται, καὶ
ὁ τοῦ βασιλέως υἱὸς πατριάρχης κεχειροτόνηται.

18 *Στόλος δὲ Ῥωσικὸς ἐπῆλθε κατὰ τῆς πόλεως, καὶ ὁ στό-*
P II 191 A *λος οὐ χιλιόναυς, ὡς λέγεται, ἀλλ' εἰς πεντεκαίδεκα χιλιάδας*
19 *τὰ τούτου πλοῖα ἠρίθμηντο. τούτοις περὶ τὸν Φάρον προσορ-*
μισθεῖσιν ἀντίπρῳρος ἔστη στόλος Ῥωμαϊκὸς καὶ ἀθρόον αὐτοῖς
προσβαλὼν ἐτρέψατο τοὺς βαρβάρους καὶ πολλὰ τῶν πλοίων

2 post *οἱ* add. *λέγοντες* Owp *περίστανται* w*p invitis AR 7 *συνεβούλευε* O 8 *ἐγεγράφει* AR, sed in E ita exaratum, ut paene evadat *ἐνεγράφει*, quod habent wp 9 *κωνστ.* om. D 10 post *ῥώμης* add. *καὶ οἰκουμενικὸς πατριάρχης* Ewp Cedr. (Scylitz.) II p. 314, 18 11 *οὖν* om. B 11. 12 *ἐν αὐτῷ* ante *ὡς* C 14 *κεχειροτόνητο* Rwp 16 *ὡς λέγεται* post *χιλιάδας* BCwp, om. D ante *ἀλλ'* add. *ἦν* Owp*Di* *πεντεκαίδεκα* ARwp*Di* Ephraem. 2736, *δέκα* Cedr. (Scylitz.) II p. 316, 12, Theoph. cont. p. 423, 16 18 *ἀντίπρωρος* ARwp, corr. *Di* *ἔστι* D, corr. Dw

12 adversarii tui iam dicunt te litterarum penitus esse rudem. Sed
propera, ut tuis accusatoribus istam quoque calumniam praeri-
13 pias; quam facile propulsabis, si coram multis charta sumpta
14 nomen tuum et pontificatum scripseris, qua scriptura ad regem
15 perlata nihil iam erit, de quo te criminentur." Huic consilio
obsecutus ille coram multis in charta pura haec scribit "Tryphon
16 ex dei misericordia archiepiscopus Cpolis, novae Romae." Eam
17 chartam Caesariensis regi offert; syngrapha supra subscriptionem
nomine patriarchae cedentis de munere in ea contexitur; itaque
Tryphon, quasi renuntiarit, ecclesia eicitur et regis filius patriarcha designatur.

18 Classis Russica, quae erat non mille, ut dicitur, sed quin-
19 decim milium navium, urbem aggressa est. Contra eas naves in
ancoris prope Pharum commorantes Romana classis in procinctu
stetit ac subito invecta barbaros profligavit, multis eorum navi-

τῷ ὑγρῷ πυρὶ ἀπετέφρωσεν. ὅσα δέ γε περιελέλειπτο πρὸς 20
ἕω περαιωθέντα, τῷ πατρικίῳ Βάρδᾳ ἐνέκυρσε τῷ Φωκᾷ, στρα-
τιωτικοῦ στρατηγοῦντι συντάγματος, ὃς πρὸς συλλογὴν τῶν ἀναγ-
καίων πολλοὺς ἐξιόντας τῶν πλοίων καταλαμβάνων ἀνῄρει.
ἀλλὰ καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας ἑτέροις ἐντυγ- 21
χάνων κατὰ ζήτησιν τῶν ἐπιτηδείων ἐκβαίνουσι τῶν νηῶν καὶ
ἐζώγρει καὶ μαχαίρας ἔργον ἐτίθετο. οὕτω δὲ καὶ διὰ θα- 22
λάσσης καὶ διὰ γῆς παθόντες κακῶς οὐκέτι τῶν πλοίων ἐξώρ-
μουν. ὡς δὲ τὰ πρὸς τροφὴν αὐτοῖς παντάπασιν ἐπιλέλοιπεν, 23 B
ἐπανελθεῖν ἐς τὰ οἰκεῖα διανενόηνται καὶ ἤδη τοῦ ἔκπλου κατήρ-
ξαντο. ἀλλ' αὖθις αὐτοῖς αἱ τριήρεις ἐπέθεντο, καὶ δὶς οἱ βάρ- 24
βαροι κατεναυμαχήθησαν, ὡς ὀλίγας πάνυ τῶν σφετέρων νηῶν
ἐκφυγεῖν καὶ ἀνθυπονοστῆσαι πρὸς τοὺς οἰκείους, ἀγγέλους γε-
νομένους ἐκείνοις τῆς συμφορᾶς. καὶ οἱ μὲν Ῥῶς παθόντες 25
πλέον κακῶς ἢ δεδρακότες τῆς κατὰ Ῥωμαίων ἀπέσχοντο ἐπι-
θέσεως.

Καὶ οἱ Ἀγαρηνοὶ δὲ διὰ τοῦ δομεστίκου τῶν σχολῶν Ἰω- 20
D IV 64 άννου τοῦ Κουρκούα καὶ τοῦ ἀδελφοῦ Θεοφίλου (πάππος δὲ

1 ante τῷ add. *ἐκείνων* Owp *κατενέπρησεν* (-*σε* D) O 3 *οὓς* D, *ὃς* corr. Dw *πρὸς*] *πολλοὺς* C 5 *ἐτυγχάνων* E 8 *ἐξώρμων* Ewp 9 *ὡς* Rwp*Di*, *εἰ* A 10 *εἰς* Rwp, v. ad XIV 12, 14 *διανενόηντο* Rwp *καὶ—κατήρξαντο* om. O, add. Dw 11 post *αἱ* add. *ῥωμαϊκαὶ* Owp 11—14 *καὶ δὶς—γενομένους ἐκείνοις*] *ἤδη τοῦ ἔκπλου καταρξαμένοις. καὶ ὀλίγαι τῶν βαρβαρικῶν νηῶν ὑπεξέφυγον, δὶς καταναυμαχηθεῖσαι· αἳ πρὸς τοὺς οἰκείους ἀνθυπενόστησαν ἄγγελοι σφίσι τοῦ δεινοῦ καὶ* O *Wo* lat. 13 *γενομένους* AEwp, *γενομένας Di* 14 *ῥῶς* DEwp*Di* 15 post *ἢ* add. *ὡς ἤλπιζον* Owp 17 *δὲ* om. C 18 *τοῦ ἀδελφοῦ θεοφίλου* A, *τοῦ ἀδελφοῦ αὐτοῦ θεοφίλου* Ewp, *θεοφίλου τοῦ ἀδελφοῦ αὐτοῦ* R, *ὁ θεοφι*^{λ} (*θεοφίλου* Dw) *τοῦ ἀδελφοῦ αὐτοῦ* D

bus igni Graeco crematis. Reliquae versus Orientem profectae 20
in patricium Bardam Phocam, qui exercitui praeerat, inciderunt,
qui multos ad conquirenda necessaria navibus egressos sustulit.
Item et scholarum domesticus Curcuas, cum in alios incideret 21
ad conquirenda necessaria navibus egressos, multos et cepit et
necavit. Sic terra marique male accepti se in navibus contine- 22
bant, donec commeatu prorsus destituti ad sua redire decre- 23
verunt. Sed cum solvissent, denuo triremes eos aggressae duo- 24
bus navalibus proeliis devicerunt, ita ut paucissimae barbarorum
naves interitu vitato ad suos redirent, nuntiae calamitatis. Russi 25
igitur, pluribus malis acceptis quam datis, a lacessendis Romanis
abstinuerunt.

20. Sed et Agareni a scholarum domestico Ioanne Curcua

ὁ Θεόφιλος τοῦ μετέπειτα τῆς βασιλείας κρατήσαντος Ἰωάννου)
C ἡττηντό τε πολλάκις καὶ τεταπείνωντο καὶ πόλεις οὐκ ἐλαχίστας
ὧν κατεῖχον ἀφῄρηντο.
2 Ὁ δὲ βασιλεὺς Ῥωμανὸς εἰς συναίσθησιν τάχα δόξας ἐλθεῖν
τῆς ἐπιορκίας καὶ τῆς τῶν συνθηκῶν παραβάσεως, ἃς πρὸς
τὸν βασιλέα Κωνσταντῖνον πεποίητο, δι' εὐποιιῶν ἔσπευδεν ἐξι-
3 λεώσασθαι τὸν θεόν. καὶ διαδόσεις μὲν καὶ ἀλλοίας ἐτίθετο,
ἐπὶ δὲ ταύταις καὶ τὰ παρὰ τῶν ἐν τῇ πόλει χρεωστούμενα τοῖς
δανεισταῖς ἀποδοὺς τοὺς ὀφειλέτας ἀπέλυσε τοῦ βάρους τῆς
ὀφειλῆς, καὶ τὰ γραμματεῖα λαβὼν ἐν μέσῃ τῇ ἀγορᾷ πυρὶ
κατηθάλωσεν· εἰς ἐννεακαίδεκα δὲ κεντηνάρια τὰ τῶν ὀφειλῶν
4 ἠριθμήθησαν. παρέσχε καὶ τὰ ἐνοίκια τῶν κατὰ τὴν μεγαλό-
D 5 πολιν οἰκούντων μισθωτικῶς. τοὺς μὲν οὖν ὀφειλέτας ὠφέλουν
διεμελέτων, πολλοὺς τῶν περὶ τὴν πόλιν καὶ τὰ βασίλεια ἑαυ-
18 *τοῖς ὁμοφρονοῦντας κτησάμενοι. ἀλλ' ἐφωράθησάν τε καὶ συν-*
εσχέθησαν, ἑνὸς τῶν συνωμοτῶν τὸ μελέτημα καταγγείλαντος.
D 19 *οὐκέτι γοῦν φιλανθρωπίας ἠξίωντο, ἀλλ' ἀσυμπαθῶς τοὺς ὀφθαλ-*
μοὺς ἐξωρύχθησαν, καὶ τοῦτο τέλος αὐτοῖς τῆς εὐτυχίας καὶ
τοῦ περὶ τὴν βασιλείαν ἐγένετο ἔρωτος.

5 *Ἀποκατέστη τοίνυν τὸ τῶν Ῥωμαίων σκῆπτρον τοῖς τούτῳ*
κατὰ γένος προσήκουσι, τῷ Βασιλείῳ καὶ τῷ Κωνσταντίνῳ
φημί, ὧν ὁ μὲν εἰκοστὸν ἤνυε τῆς ἡλικίας ἐνιαυτόν, ὁ δέ γε
2 *Κωνσταντῖνος ἑπτακαιδέκατον. ἀλλ' οὗτοι μὲν τὰ τῆς βασιλείας*

3 *ὅτι αὖθις ὁ Φωκᾶς Λέων καὶ ὁ υἱὸς αὐτοῦ Νικηφόρος μελετήσαντες ἐπιθέσθαι τῇ βασιλείᾳ ἐτυφλώθησαν* C 15 *βασιλεία τοῦ πορφυρογεννήτου Βασιλείου τοῦ υἱοῦ Ῥωμανοῦ τοῦ παιδίου* A, *βασιλεία Βασιλείου καὶ Κωνσταντίνου* B, *βασιλεία Βασιλείου τοῦ πορφυρογεννήτου* CD

2 *πρὸς* om. D *τῷ ἡμίσει* Rwp*Di*, v. ad XVIII 25, 7 3 *γε*] *με* BEwp 4 *οὖν* om. C 4. 5 *καὶ νικηφόρος ὁ ἐκ. υἱὸς* O 6 *τούτου* D 7 *ἱστ.*] p. 525, 12. 8 *καὶ* om. D 11 *συνομοτῶν* DEwp *προςαγγείλαντος τὸ μελέτημα* O 15 Totum hoc caput ex XIX codicibus edidit *B-W Byz. Zeitschr.* a. 1892 p. 220 ss. 594 ss. *τοίνυν* ARw, om. p* *τοῦτο* D 17 *εἴκοστον* p*

est, imperio heredibus relicto Basilio et Constantino, Romani filiis, cum annos sex totidemque menses regnasset.
15 Iam vero restat, ut id exponamus, quod paene obliti sumus.
16 Nam quemadmodum curopalata Leo Phocas eiusque filius Nicephorus, lata in eos excaecandi sententia, arcano regis mandato
17 oculos conservarint, iam exposuimus. Qua liberalitate non contenti cum regnum denuo coepissent affectare, multis et civibus
18 et aulicis sibi conciliatis, eoque consilio a quodam ex coniuratis
19 prodito deprehensi essent, sine ulla clementia effossis oculis et felicitatis suae et ambitionis finem invenerunt.

5. Sic Romanorum imperium iis restitutum est, ad quos hereditatis iure pertinebat, Basilio et Constantino, quorum
2 ille XX., Constantinus XVII. aetatis annum agebat. Qui cum

περιέκειντο σύμβολα, τὴν δ' ἐξουσίαν ὁ πρόεδρος Βασίλειος
περιέζωστο ἀτεχνῶς. ἠνείχετο δὲ ὁ Βασίλειος μήπω πεποιθὼς 3
ἑαυτῷ, καὶ οἷον παιδοτρίβῃ τῷ παρακοιμωμένῳ προσεῖχε καὶ
ἑαυτὸν ἐρρύθμιζε πρὸς τὴν ἐκείνου τῶν δημοσίων πραγμάτων
μεταχείρισιν καὶ διοίκησιν, ὡς ἂν καιροῦ καλοῦντος οὕτως καὶ
αὐτὸς τὰ περὶ τοὺς στρατιωτικοὺς καταλόγους καὶ τῆς πολιτι- P II 216 A
κῆς εὐνομίας μεταχειρίσηται. ἦν γὰρ τὸ ἦθος ἐγρηγορὼς καὶ 4
δραστήριος, ἀλλ' οὐκ ἀνειμένος κατὰ τὸν ἀδελφὸν καὶ περὶ τὸν
ἀργὸν βίον ἐσχολακώς. ἄρτι γοῦν εἰς τοὺς ὁμαίμονας τούτους 5
περιέστη τὸ κράτος καὶ αὐτίκα ἐκ τῆς ὑπερορίας τὴν τούτους
κατάγει τεκοῦσαν ὁ πρόεδρος καὶ τοῖς υἱοῖς ἀποδίδωσιν. ὑπ- 6
οπτεύων δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρόν, στρατηλάτην
D IV 105 ὄντα καὶ πάσας ὑφ' ἑαυτὸν ἔχοντα τὰς ἑῴας δυνάμεις, ἀφαι-
ρεῖται μὲν αὐτοῦ τὴν τοῦ στρατηλάτου ἀρχήν, δοῦκα δὲ Μεσο-
ποταμίας αὐτὸν προχειρίζεται. τοῦτο σφόδρα ἠνίασε τὸν Σκλη- 7
ρὸν καὶ ἄλλως ἀεὶ τρέφοντα παρ' ἑαυτῷ τῆς βασιλείας τὸν
ἔρωτα πρὸς ἀποστασίαν ἠρέθισε. καταλαβὼν οὖν τὴν ἀρχὴν 8 B
εἰς ἣν προεβέβλητο πολλοῖς ἀνεκάλυψε τὸ ἀπόρρητον. φιλού- 9

9 ὅτι ἀνεκλήθη ἐκ τῆς ὑπερορίας ἡ μήτηρ τῶν βασιλέων C 15 ὅτι ἀπεστάτησεν ὁ μάγιστρος Βάρδας ὁ Σκληρός· καὶ ὅσα ἐν τῇ ἀποστασίᾳ αὐτοῦ γέγονασιν C

1 πρωτοπρόεδρος Ewp 2 ἀτεχνῶς om. O ante βασίλειος add. βασιλεὺς Owp 5 μεταχείρησιν DEwp οὕτω RwpDi, v. ad XIII 6, 16 6 π^ε C, περὶ Cw ante τῆς add. τὰ RwpDi 9 ὑγρὸν D ἐσχολακὼς AECwwp, πεφυκὼς O 10. 11 καὶ αὐτίκα—πρόεδρος om. E 10. 11 κατάγει ante τὴν Owp 13 πάντας B 14 τοῦ om. Ewp δούκα (sic) A 16 ἄλλω C 18 προβέβλητο Ewp

regni insignia gestarent, omnis auctoritas erat penes Basilium
praesidem, idque Basilius se ipso nondum fretus tolerabat, cubi- 3
culi praeposito tamquam praeceptori oboediens seque ad illius
reipublicae tractationem et administrationem conformans, ut et
ipse, cum tempus postularet, in militaribus catalogis et civili
aequitate tuenda eandem rationem sequeretur. Erat enim alacri 4
et excitato ingenio, non dissolutus et ignaviae mancipatus, ut
frater. Cum primum autem hi fratres rerum potiti sunt, praeses 5
eorum matrem ab exilio revocatam filiis restituit; et quia Bar- 6
dam Sclerum, magistrum militum et cui omnes orientales copiae
parebant, suspectum habebat, ea dignitate erepta Mesopotamiae
ducem designat. Quam ille rem iniquissimo ferens animo et 7
alioquin regni cupiditate aestuans ad defectionem incitatus, inito 8
magistratu illo arcanoque cum multis communicato, propter res 9

μενος δὲ διὰ τὰς ἀριστείας ὑπὸ παντὸς τοῦ στρατεύματος πει-
10 θηνίους εἶχε σχεδὸν ἅπαντας. ὅτι δ' ἦν ἐν τῇ βασιλίδι τῶν
πόλεων ὁ παῖς αὐτοῦ Ῥωμανός, ἔσπευσε σχεῖν κἀκεῖνον παρ'
ἑαυτῷ καὶ στείλας λάθρα τινὰ ἠδυνήθη καὶ τὸν υἱὸν λαθόντα
11 ὑπαγαγέσθαι· καὶ αὐτίκα τῇ τυραννίδι ἐπικεχείρηκε ταινίᾳ τε
βασιλείῳ τὴν κεφαλὴν ἀναδεῖται καὶ φοινικοῖς πεδίλοις τοὺς
12 πόδας ὑποδεῖται, καὶ εὐφημεῖται ὡς βασιλεύς· καὶ χρήματα
συλλέξαι ποιεῖται σπουδὴν καὶ συμμάχους προσειλήφει τόν τε
C τῆς Ἀμίδης ἀμηρᾶν (οὕτω γὰρ τὸ Ἔμετ καλεῖται) καὶ τὸν τῆς
Μαρτυρουπόλεως (ἡ δὲ Μιεφερκεὶμ ὀνομάζεται), ἀλλὰ μέντοι
W III 173 13 καὶ Ἄραβας. τούτους οὖν συμπαραλαβὼν ἠπείγετο πρὸς τὴν
Κωνσταντίνου, ἐλπίσι χρησταῖς αἰωρούμενος, ἃς καὶ ἄλλοθεν
ἔθαλπε, μᾶλλον μέντοι ἐξ ὀνείρου τινὸς μοναχοῦ ἀρετὴν μετ-
14 ιόντος. ἔδοξε γὰρ ἐκεῖνος ὁρᾶν τὸν Σκληρὸν γυναικί τινι ἐφ'
ὑψηλῆς καθημένῃ περιωπῆς προσελθεῖν, τὴν δὲ μάστιγα αὐτῷ
15 ἐγχειρίσαι βασιλικήν. ἡ μάστιξ δ', ὡς ἔοικεν, ἦν σύμβολον τῆς
θείας ὀργῆς καὶ τῆς ἐκ τῶν ἐμφυλίων πολέμων τῶν Ῥωμαίων
φθορᾶς, ἣν ὁ Σκληρὸς δηλοῦν τὴν βασιλείαν ἐνόμιζε, πρὸς

3. 4 παρ' ἑαυτῷ κἀκεῖνον ποιήσασθαι O 5. 6 ταινίᾳ τε (δὲ D) τ. κεφ. ἀναδ. βασιλικῇ O 6. 7 πεδίλοις post ὑποδεῖται O 9 ἔμετ ARw (cf. Cedr. (Scylitz.) II p. 419, 18. I p. 237, 1, Constant. Porphyrog. III p. 114, 2, Leon. Diac. p. 161, 19) Εμετ (s. spir. et acc.) p, Ἐμὲτ *Di* 10 μαρτυρουπόλεως ARwp; est forma Μαρτυρόπολις sollemnis (XIV 12, 16, Cedr. I p. 725, 13. II p. 419, 18, Malal. p. 427, 15, Procop. I p. 42, 17. 107, 22. 262, 7. III p. 221, 7. 248, 14. 249, 1 cet.) neque tamen ubique revocanda 11 συμπεριλαβὼν Ewp 12 κωνσταντινούπολιν D αἰωρούμενος corr. ex ἑωρούμενος E, ἑω|ρούμενος D 13 μοναχοῦ om. init. vers. C μετίοντος p* 14 ἐκείνω E τὸν σκληρὸν om. C *Wo* lat. 16 ἐγχειρίσαι Rwp*Di*, ἐγχειρῆσαι AD 17 πόλεμον D 18 ἣν ὁ σκληρὸς AEwp, ὁ δὲ σκληρὸς τὴν μάστιγα O

fortiter gestas apud omnes milites gratiosissimus omnes fere dicto
10 audientes habebat et filio Romano, qui in urbe regia degebat,
11 clam per quendam arcessito statim regnum affectavit, diademate
12 regio et calceis puniceis sumptis. Rex salutatus pecunias studiose conquirit et Amidae, quae et Emet dicitur, et Martyrupolis
13 seu Miephercim ameram et Arabes socios asciscit. His secum coniunctis Cpolim properat spe bona elatus, somnio cuiusdam
14 monachi virtutis studiosi praecipue aucta, qui sibi visus erat Sclerum ad mulierem quandam in sublimi specula sedentem ac-
15 cedere, quae illi flagellum regium porrigeret. Quod flagellum cum utique iram dei et Romanorum ex intestinis bellis interitum significaret, Sclerus cupiditate occaecatus visionem imperii sui

τὴν οἰκείαν ἔφεσιν κρίνων τὸ ὄραμα. τῆς δὲ περὶ τῆς τυραν- 16 D
νίδος τοῦ Σκληροῦ φήμης φθασάσης πρὸς τοὺς κρατοῦντας
D IV 106 *ἡτοιμάζετο τὸ περιλειφθὲν στρατιωτικὸν ἀντικαταστῆναι τῷ ἀπο-*
στάτῃ. ἐν τοσούτῳ δὲ στέλλεται πρὸς ἐκεῖνον ὁ Νικομηδείας 17
ἀρχιερεὺς πρεσβεύσων καὶ πολλὰ μὲν ἐπαγωγὰ πρὸς εἰρήνην
διειλέχθη αὐτῷ, ἀλλ' οὐκ ἔπεισε. δείξας γὰρ αὐτῷ ὁ Σκληρὸς 18
τὸ κοκκοβαφὲς πέδιλον ἀδύνατον εἶπε τὸν ἅπαξ τοῦτο ὑποδη-
σάμενον ῥᾷον ἀποβαλεῖν. ταύτην τὴν ἀπόκρισιν ὡς ἔγνων οἱ 19
περὶ τὰ βασίλεια, ἐξ ἀνάγκης πρὸς μάχην ὡρμήκεσαν. ἦν δὲ 20
τῆς βασιλικῆς δυνάμεως στρατοπεδάρχης ὁ ἐκτομίας Πέτρος ὁ
τοῦ Φωκᾶ, οὗ καὶ πρῴην ἐμνήσθημεν. ὡς γοῦν ἀλλήλοις ἀντ- 21
εστρατοπεδεύσαντο τὰ στρατεύματα παρὰ Λάπαραν, ἣ καὶ Λυ-
κανδὸν ὠνομάζετο, καὶ πρὸς ἄλληλα συνερράγησαν, ἐπὶ μέν
τινα καιρὸν ἀντεῖχον οἱ βασιλικοὶ γενναίως, ἔπειτα τρέπονται
καὶ ἀναιροῦνται πολλοί, καὶ τὸ στρατόπεδον ὑπὸ τοὺς ἐναντίους
γενόμενον διαρπάζεται. εἶτα καὶ τὴν Τζαμανδὸν πολυπληθῆ 22 P II 217 A
πόλιν ἐκ προσελεύσεως τῶν οἰκούντων αὐτὴν εἰληφὼς χρημάτων
ἑσμὸν ἐξ αὐτῆς συνηθροίκει. οὕτω δὲ περιγενόμενος τοῦ στρα- 23

1 *δὲ* Rwp*Di*, om. A 3 *περιλειφθὲν* Rwp*Di*, *περιληφθὲν* A *ἀντικαταστητικὸν τὸ ἀποστατας* (s. acc.) D 4 *τουσούτω* D *δὲ*] *γὰρ* B 6 *ἔπειθε* D 7 *τὸν* om. D *ὑποδησάμενον* Owp*Di*, *ὑποδυσάμενον* A, *ὑποδεισάμενον* E 10 *στρατοπ.* ante *τῆς* D 11 *πρῴην*] XVI 26, 10 *οὖν* Ewp 12 *περὶ* Rwp *λίπαραν* ARwp*Di*, *λιπαράραν* D, corr. *B-W* coll. Cedr. (Scylitz.) II p. 422, 21, Leon. Diac. p. 169, 23, Ann. Comn. II p. 242, 15 *τὰ στρατ.* ante *ἣ* C *λυκανδὸν* cod. Vatic. 981 *Di* (v. Cedr. l. c., Constant. Porphyrog. III p. 32, 15 ss., Niceph. Phoc. p. 243, 6. 15. 250, 18), *λικανδὸν* ARwp, *λικανδὸσ* Cw, Licandus *Wo* lat. 13 *ὀνομάζεται* D *καὶ* om. Ewp ante *ἐπὶ* add. *καὶ* Ewp 17 *τῶν οἰκούντων αὐτὴν*] *αὐτῶν* D 18 *ἑσμὸν* ARwp*Di*, *ἐσμὸν* alii (v. Steph. thes. III p. 2092 D) praeferunt

omen interpretabatur. Fame de tyrannide Scleri ad reges per- 16
lata, quicquid militum restabat contra tyrannum paratur, misso 17
interim Nicomediae pontifice ad illum, qui etsi multas pacis con-
diciones haud aspernendas proposuit, nihil tamen impetravit.
Nam Sclerus coccineo calceo ostenso non fieri posse dixit, ut qui 18
eum semel induisset, temere abiceret. Quo responso accepto 19
necessitas regibus imposita est bello decertandi, copiarum duce 20
Petro, Phocae spadone, cuius supra quoque facta est mentio.
Exercitibus ad Laparam congressis, quae et Lycandum appel- 21
latur, regii aliquantisper strenue restiterunt, sed tandem pro-
fligantur, multis caesis castrisque direptis. Tzamandus quoque, 22
urbs frequentissima, ab incolis Sclero deditur, e qua magnam
pecuniae vim coëgit. Sic regiis copiis superatis, multos inde 23

ύματος τοῦ βασιλικοῦ πολλοὺς ἐκ τούτου πρὸς ἑαυτὸν ἐπ-
εσπάσατο, ἀπεγνωκότας ἤδη τὰς σωζούσας ἐλπίδας περὶ τοῖς
βασιλεῦσι, καὶ αὐτῷ προσερρύησαν οὐ τῶν ἀνωνύμων μόνον
24 στρατιωτῶν, ἀλλὰ καὶ τῶν περιωνύμων πολλοί. ὡς δὲ ταῦτα
τῷ παρακοιμωμένῳ ἠγγέλθησαν, στέλλεται αὖθις Λέων ὁ πρω-
τοβεστιάριος, ἄκρατον ἐξουσίαν ἐμπιστευθεὶς καὶ πάντα πράττειν
ὅσα καὶ βασιλεῦσιν ἀνεῖται ἄδειαν εἰληφώς (εἶπεν ἄν τις τῇ
B 25 Λατίνων φωνῇ τὸν ἄνδρα δικτάτορα)· καὶ συνελθὼν τῷ στρα-
τοπεδάρχῃ ὁ πρωτοβεστιάριος ἐπειράθη μὲν ὑποσχέσεσι καὶ
26 τιμαῖς τοὺς περὶ τὸν Σκληρὸν ἐπισπάσασθαι· ὡς δ' ἀνηνύτοις D IV 107
ἔγνω ἐπιχειρεῖν, παρελάσας νυκτὸς τὸν Σκληρὸν ἐχώρει πρὸς
27 ***. ἐντεῦθεν δέος τοὺς περὶ τὸν Σκληρὸν εἷλε καὶ περὶ τῶν
φιλτάτων αὐτῶν, καὶ τὸν ἀποστάτην καταλιμπάνοντες τῷ πρω-
28 τοβεστιαρίῳ προσῄεσαν. κἀκ τούτου δείσας ὁ Σκληρὸς τὸν
μάγιστρον Μιχαὴλ τὸν Βούρτζην προσκεχωρηκότα αὐτῷ καὶ
Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην μετὰ στρατιᾶς ἔπεμψε κατὰ
29 τοῦ πρωτοβεστιαρίου, οἳ προσβαλόντες ἐκείνῳ ἡττήθησαν. ὡς
δ' ἐγνώσθη τῷ Σκληρῷ ἡ τῶν πεμφθέντων ἧττα, αὐτὸς σὺν
παντὶ τῷ ὑπ' αὐτὸν στρατεύματι κατὰ τοῦ πρωτοβεστιαρίου

2 *παρὰ* DEwp 3 *μόνον* om. E, *μόνων* B, v. ad XIV 6, 31 5 ante *λέων* add. *ὁ* C 7 *καὶ* om. D *εἴποιεν* w*p invitis AR 8 *δικτάτωρα* C*Di*, *δικτάρτορα* D 10 *ἐπισπάξασθαι* D 11 *παρεάσας* B 11. 12 *πρὸς* ...... *ἐντεῦθεν* A, *πρὸς* .... *ἐντεῦθεν* BC, *πρὸς* .... *ἐντεῦθεν* D, *πρὸς ἐντεῦθεν* (sine lac.) E, *πρὸς ** ἐντεῦθεν* w, *πρὸς τ' ἐντεῦθεν* p, *πρὸς τὴν ἀνατολήν. ἐντεῦθεν* cod. Mutin. II F 12 et *Di* ex Cedr. (Scylitz.) II p. 424, 23 (v. *B-W Byz. Zeitschr.* l. c. p. 596 s.), *πρὸς τὰ ἀνατολικά. ἐντεῦθεν* coni. *B-W* 12 *καὶ* om. Rwp*Di* 15 *αὐτῷ* Rwp*Di*, *αὐτὸν* A 17 *ἐκείνῳ* om. D

ad se attraxit, opibus et salute illorum iam desperatis, neque obscuri
dumtaxat milites, sed multi etiam ex illustribus ad eum conflu-
24 xere. Quae cum proposito cubiculi nuntiata essent, Leo proto-
vestiarius cum summo imperio et auctoritate suo arbitratu gerendi
omnia, quae regibus licent, mittitur, quam potestatem latine di-
25 ctaturam nominares. Is cum stratopedarcha coniunctus, pollicita-
26 tionibus et honoribus frustra tentatis militum animis, noctu Scle-
27 rum praetergressus ⟨Orientem versus⟩ contendit. Quare factum
est, ut Scleri milites et suis carissimis timentes Sclero relicto ad
28 protovestiarium se conferrent, Sclerus autem territus Michaëlem
Burtzem magistrum suas secutum partes et Romanum Taronitem
patricium cum exercitu contra protovestiarium mitteret. Quibus
29 proelio superatis, ipse Sclerus cum omnibus copiis protovestiarium

χωρεῖ καὶ συρρήγνυται τῇ μετ' αὐτοῦ στρατιᾷ καὶ νικᾷ. καὶ 30 C
ὁ μὲν στρατοπεδάρχης Πέτρος ἀνῄρητο, ὁ δὲ πρωτοβεστιάριος
ἑαλώκει. αὕτη ἡ νίκη ἐπὶ μέγα μὲν ἦρε τὰ τοῦ Σκληροῦ, τὰ 31
δὲ τῶν βασιλέων εἰς ἀπόγνωσιν ἤνεγκε, καὶ μᾶλλον ὅτι καὶ
ἐθαλασσοκράτει ὁ ἀποστάτης. στόλον οὖν ὁ παρακοιμώμενος 32
ἑτοιμάσας ἐκπέμπει κατὰ τοῦ στόλου τοῦ ἀποστάτου, καὶ ναυ-
μαχίας γενομένης ὁ στόλος ὁ τοῦ Σκληροῦ κατεναυμαχήθη καὶ
διεσκέδαστο. ὡς οὖν ἠρέμει τὰ κατὰ τὴν θάλασσαν, τὰ κατὰ 33
τὴν ἤπειρον ὁ παρακοιμώμενος διετίθετο καὶ τὸν Ἐρωτικὸν
εἰς Νίκαιαν ἔπεμψε τὴν τῆς Βιθυνίας μητρόπολιν, ταύτην φρου-
ρήσοντα· ᾗ προσβαλὼν ὁ Σκληρὸς ἀπεκρούσθη, καὶ λιμῷ τοὺς 34 D
ἐν αὐτῇ προδοῦναι ταύτην ἠλπίκει καὶ μέντοι ἐχρονοτριβήθη
ἐκεῖ, σιτοδείᾳ τοὺς ἔνδον πιέζεσθαι παρεσκεύασεν. ἔγνω γοῦν 35
ὁ Ἐρωτικὸς ἀπάτῃ καταστρατηγῆσαι τὸν ἐναντίον καὶ τοὺς σι- W III 174
τῶνας ψάμμου ἐπλήρωσε καὶ τὴν ψάμμον σίτῳ ἐπέχρωσεν,
ὡς δοκεῖν τὸν ὄγκον ἅπαντα σῖτον εἶναι. ἔχων οὖν τινας ἀλω- 36
D IV 108 τοὺς ἐκ τοῦ στρατοπέδου τῶν ἐναντίων, αὐτοῖς τοὺς σιτῶνας

11 *πῶς ὁ Σκληρὸς τῆς Νικαίας ἐκράτησεν* C

1 *συρρύγνηται* Ewp *στρατιᾶὶ* (= *στρατιᾷ καὶ*) D, sed punctis ad *στρατιᾶὶ* additis repetit Dm *στρατιᾶ*, ne quis *στρατιᾶς* intellegat 7 *γινομένης* Ewp ante *καὶ* add. *τὲ* D 8 *τὴν* om. Rwp 10 *τὴν* om. Ewp *βιθυνίας* ARp, *βηθυνίας* Dw 12. 13 *καὶ μέντοι καὶ χρονοτριβήσας ἐκεῖ* Rwp, *καὶ μέντοι ἐχρονοτριβήθη ἐκεῖ*, ⟨*ἐπεὶ*⟩ coni. *B-W* 13 *οὖν* CEwp 14 *τῶν ἐναντίων* D 14. 15 *τοὺς σιτῶνας ψάμμου ἐπλήρωσε* AEwp (v. Cedr. (Scylitz.) II p. 428, 12), *εἰς τοὺς σιτῶνας ψάμμον συνεκόμισε* O 15 *σίτῳ* ante *τὴν* O *ἐπέχρωσέ τε καὶ ἐπεκάλυψεν* O 16 *οὖν* om. C, add. Cw

aggressus vicit vivumque cepit, Petro stratopedarcha interfecto. 30
Ea victoria ut Scleri opes multum auxit, sic regiam rem ad de- 31
sperationem depressit, praesertim cum tyrannus etiam mare te-
neret. Quamobrem praepositus cubiculi classe missa, commisso 32
cum Scleri navibus proelio, eius classem devicit et dissipavit,
idemque mari pacato provinciarum suscepta cura, Eroticum ad 33
Nicaeam Bithyniae metropolim tuendam misit; quam Sclerus vi 34
expugnare frustra conatus, fame subigi per proditionem posse
ratus obsidionem tamen traxit et incolas fame vexare instituit.
Eroticus vero dolo circumvenire hostem statuit illataque in gra- 35
naria arena et frumento superne ita iniecto, ut totus acervus
videretur frumentum, captivis, quos ex hostium exercitu habebat, 36
granaria demonstrat ne semiplena quidem eosque Sclero nuntiare

οὐδ' ἡμιδεεῖς ὄντας ὑπέδειξε καὶ δι' αὐτῶν ἐδήλωσε τῷ Σκληρῷ
37 *μὴ δεδιέναι τὴν πολιορκίαν τὴν ἐκ λιμοῦ. "εἰ δέ μοι" ἔφη*
"πίστεις δοίης μεθ' ὧν βούλομαι παραχωρῆσαί μοι ἀπελθεῖν,
38 *ὑπεκστήσομαί σοι τῆς πόλεως τὰ σὰ φρονῶν." περιχαρῶς*
τούτων ἤκουσεν ὁ Σκληρὸς καὶ πίστεις αὐτῷ παρέσχε, κἀκεῖνος
τούς τε πλείους τῆς πόλεως καὶ τοὺς σὺν αὐτῷ στρατιώτας
παρειληφὼς τῆς πόλεως ἔξεισι καὶ πρὸς τὴν μεγαλόπολιν ἄπεισι·
P II 218 A *καὶ ὁ Σκληρὸς εἴσεισιν εἰς τὴν Νίκαιαν καὶ τότε ἔγνω κατα-*
39 *στρατηγηθείς. ὁ δέ γε παρακοιμώμενος, τοῦ Σκληροῦ ἐκεῖθεν*
ἀπάραντος καὶ τῇ βασιλευούσῃ τῶν πόλεων πλησιάζοντος, ἀμη-
40 *χανῶν ἦν. γνωσιμαχήσας οὖν τὸν Φωκᾶν Βάρδαν ἐκ τῆς*
ὑπερορίας ἀνεκαλέσατο καὶ ὅρκοις αὐτὸν φρικώδεσιν ἐνδησά-
μενος καὶ παλαμναιοτάταις ἀραῖς μὴ ἄν ποτε τῇ βασιλείᾳ ἐπι-
θέσθαι μηδὲ κατὰ τῶν βασιλευόντων βουλεύσασθαι, ταῖς περι-
λοίποις δυνάμεσι τὸν ἄνδρα ἐφίστησι, μάγιστρόν τε τιμήσας καὶ
χρήματα δαψιλῆ παρασχόμενος καὶ τὴν κατὰ τοῦ Σκληροῦ
41 *μάχην αὐτῷ ἀναθέμενος. ἄπεισιν οὖν ὁ Φωκᾶς. ὁ Σκληρὸς*
δὲ τοῦτο μαθὼν τότ' ἔγνω μαχέσασθαι πρὸς ἀνταγωνιστὴν ἀξιό-
B *μαχον καὶ ἄρας ἀπῄει καὶ περὶ τὸ Ἀμόριον συμπλέκεται τῷ*
Φωκᾷ, καὶ γίνεται μάχη τῶν στρατευμάτων, καὶ ἦσαν ὑπερ-

11 *ὅτι τῷ Φωκᾷ Βάρδᾳ τὸν κατὰ τοῦ Σκληροῦ ἐνεπίστευσε πόλεμον ὁ παρακοιμώμενος* C

1 *οὐδ'* om. Owp *ἐδήλωσε*] *ὑπέδειξε* D 2 *δεδοικέναι* D 6 *στρατιῶτας* Ewp 7 *μεγάλην πόλιν* Ewp *ἄπεισι* Rwp*Di*, *ἄπεισιν* A (v. ad XIII 1, 5), *ἔπεισι* B 12 *φρικώδεσιν* om. D 13 *καὶ παλ. ἀραῖς* om. O*Wo* lat. 17 post *οὖν* add. *καὶ* Ewp 18 ante *μαχ.* add. *μέλλων* Rwp*Di* *μαχέσθαι* D *ἀξιώμαχον* p*

37 iubet, quamvis a fame nihil sibi periculi sit, tamen si cum certis
hominibus tuto exire liceat, se urbe tradita partes eius secutu-
38 rum. Quo nuntio laetatus Sclerus, cum fidem dedisset, ille cum
maiore civium et militum suorum parte Cpolim abiit; Sclerus
autem Nicaeam ingressus dolo se circumventum esse intellexit.
39 Cubiculi vero praepositus, Sclero inde digresso et Cpoli appro-
40 pinquante, quamvis animi dubius haereret, tamen mutata sen-
tentia Phocam Bardam ab exilio revocatum et sanctissimo iure-
iurando atque imprecatione horrenda obstrictum, ne unquam
regnum affectare aut consilia contra reges inire vellet, magistrum
appellat et reliquiis copiarum praeficit pecuniaque liberaliter
41 suppeditata contra Sclerum mittit. Quo Sclerus cognito tum se
parem adversarium habere ratus inde digreditur et prope Amo-
rium pugna commissa superior evadit, profligatis adversariis.

τεροῦντες οἱ τοῦ Σκληροῦ, οἱ δὲ περὶ τὸν Φωκᾶν τὰ νῶτα
ἐτρέψαντο. καὶ οὕτω τὰ τῆς μάχης ταύτης συμβέβηκε. τῇ δ' 42
ἑξῆς οἱ τῶν στρατευμάτων ἐξάρχοντες αὐτοὶ πρὸς ἀλλήλους
μαχέσασθαι εἵλοντο καὶ τὸν ἀγῶνα τὸν ὑπὲρ τοῦ παντὸς ἀνα-
δέξασθαι. ἐπῆλθον οὖν ἀλλήλοις· καὶ πρῶτος ἔφθη παίσας 43
τὸν Φωκᾶν ὁ Σκληρός, ὡς μὲν ἔνιοι λέγουσι, κορύνῃ κατὰ
D IV 109 τῆς κεφαλῆς, ὡς δ' ἕτεροι, ξίφος ἐπανετείνετο κατ' αὐτοῦ, τοῦ
δὲ κλιθέντος πρὸς θάτερον μέρος καὶ τὴν πληγὴν ἐκκλίναντος,
ἔφθασε τὸ τοῦ ξίφους ἄκρον τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ
τοῦ Φωκᾶ. ὁ δέ γε Φωκᾶς ἀντέπληξε τὸν Σκληρὸν κορύνῃ 44 C
κατὰ τῆς κεφαλῆς, καὶ ὁ πληγεὶς σκοτοδινιάσας τῷ τοῦ ἵππου
τραχήλῳ ἐπέπεσεν· ὃν οἱ περὶ αὐτὸν κακῶς ἔχοντα θεασάμενοι 45
καὶ τῷ ἐκ τῆς πληγῆς αἵματι πεφυρμένον, περιστάντες συνέσχον
καὶ ἐπήγαγον εἰς πηγήν, ἀνακτησόμενοί τε λειποψυχοῦντα τὸν
ἄνδρα τῷ ὕδατι καὶ τὸ καταρρεῦσαν τοῦ αἵματος ἀπορρύψοντες,
καὶ τοῦ ἵππου ἐκεῖνον ἀποβιβάσαντες ἐποίουν τὰ εἰρημένα.
ἐν τούτῳ δ' ὁ ἵππος ὁ τοῦ Σκληροῦ τὸν κατέχοντα ἐκφυγὼν 46
καὶ ἀποσκιρτήσας ἐπιβάτου χωρὶς ἐκρόαινεν ἀνὰ τὸ στρατόπεδον
αἵματι τὴν χαίτην διάβροχος· ὃν ἰδόντα τὰ τοῦ Σκληροῦ στρα- 47

5 ὅπως ἐμονομάχησαν ὁ Σκληρὸς καὶ ὁ Φωκᾶς· καὶ ὅπως οἱ περὶ τὸν Σκληρὸν ἐτράπησαν εἰς φυγήν CE

1 φωκᾶ D τὰ om. O 2 ἔτρεψαν *Di* ante τὰ add. μὲν Rwp*Di* 3 πρὸς om. B 5. 6 παίσας τὸν—7 κατ' αὐτοῦ] κατὰ τοῦ φωκᾶ ὁ σκληρὸς ξίφος ἐπανατείνασθαι R 7 ἐπανετείνατο Ewp 8 ἐκκλίναντος Rwp*Di*, ἐκλίναντος A 9 τὸ τοῦ] τῷ τοῦ D ἄκρῳ D 9. 10 τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ τοῦ (v. ad XIV 17, 9) φωκᾶ AE, τοῦ ἵππου τοῦ φωκᾶ τὸ οὖς ἐκτεμεῖν O, τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ φωκᾶ w*p 13 πεφυρμένῳ D 14 ἐπήγαγον A (ἐπί τινα πηγὴν ἄγουσι Cedr. (Scylitz.) II p. 432, 18), ἀπήγαγον Rwp*Di* ἀνακτισάμενοί E 15 ἀπορρύψαντες Ewp 17 τοσούτῳ D φυγῶν C 18 ἐκρόανεν w*p invitis AR κατὰ D

Postridie duces exercituum decrevere ipsi certamine congredi 42
deque summa rerum decernere. Tum Sclerus prior, ut quidam 43
tradunt, clavam in Phocae caput impegit, ut alii, ensem in eum
libravit; qui cum ictum declinasset, extremo ense aurem equi
Phocae resecuit. At Phocas contra Scleri capiti clavam ita il- 44
lisit, ut oborta vertigine in equi collum prolapsum et cruentatum
satellites eriperent ac viribus destitutum equo depositum sanguine 45
absterso ad fontem recrearent. Interea eius equus, dum illi hac 46
cura occupantur, elapsus eius manibus, a quo tenebatur, sine
sessore in castris iuba sanguine manante exsultans effecit, ut 47

D *τεύματα (ἐπίσημος γὰρ ἦν ὁ ἵππος, κεκλημένος Αἰγύπτιος) καὶ*
οἰηθέντα πεσεῖν τὸν ἑαυτῶν ἡγεμόνα, ἀκρατῶς ὡρμήκεσαν
48 *πρὸς φυγήν. κατανοήσας δὲ τὸ γινόμενον ὁ Φωκᾶς ἔπεισι*
τοῖς φεύγουσι τοὺς οἰκείους παραθαρρύνας, καὶ πολλοὶ μὲν
ἀνῄρηντο ὑπὸ τῶν ἀντιπολέμων, πολλοὶ δὲ καὶ ἡλίσκοντο, πλεί-
49 *ους δ' ὑπ' ἀλλήλων ἐκτείνοντο συμπατούμενοι. ἐντεῦθεν ὁ*
Σκληρὸς ἐξαπορηθεὶς μετὰ τῶν περιλειφθέντων καταφεύγει
πρὸς Χοσρόην τὸν Βαβυλώνιον.
50 *Καὶ τοῦτο μαθὼν ὁ βασιλεὺς ἔπεμψε πρὸς Χοσρόην, ἀξιῶν*
μὴ προσδέξασθαι τὸν τυραννήσαντα κατὰ τοῦ οἰκείου δεσπότου
γενόμενον, ἵνα μὴ καὶ καθ' ἑαυτοῦ ὑπόδειγμα δοίη οὐκ ἀγα-
51 *θόν. ἔφερε δ' ὁ πεμφθεὶς καὶ πρὸς τὸν Σκληρὸν καὶ τοὺς*
μετ' αὐτοῦ ἔγγραφα τῇ βασιλικῇ βεβαιωθέντα χειρί, ἀμνηστίαν
αὐτοῖς τῶν πεπραγμένων βραβεύοντα, εἰ ἀποσταῖεν τῆς ἐγχει- D IV 110
52 *ρήσεως καὶ τῷ βασιλεῖ ὑποκύψαιεν. ταῦτα τὰ πρὸς τὸν Σκλη-*
ρὸν καὶ τοὺς μετ' ἐκείνου βασίλεια γράμματα ὡς ἔγνω ὁ Βα-
P II 219 A *βυλώνιος, αὐτόν τε τὸν τὴν πρεσβείαν πληροῦντα καὶ τὸν Σκληρὸν*
53 *καὶ τοὺς μετ' αὐτοῦ στρατιώτας καθείργνυσιν. ἐνταῦθα μὲν*
οὖν τότε τὰ τῆς ἀποστασίας ἔληξε τῷ Σκληρῷ.

6 *φυγὴ τοῦ Σκληροῦ πρὸς Βαβυλῶνα καὶ κάθειρξις αὐτοῦ καὶ τῶν μετ' αὐτοῦ* CE

2 *ἑαυτῶν* AR (Cedr. l. c. p. 432, 24), *αὐτῶν* DEwp 5 *ἀπὸ* Ewp 6 *συμπατ. ἐκτείνοντο* C 7 *ἐξαπορηθεῖς* w*p 9 *Καὶ* om. *Di* Haasii nota ad versum decimum pertinente perperam huc relata 10 ante *κατὰ* add. *καὶ* Ewp*Di* 11 *καὶ* om. O 13 *μετ' ἑαυτοῦ* p* *ἀμνηστείαν* Ewp 14 *ἐγχειρίσεως* B 15 *τῷ*] *τὸ* p* 16 *μετ' ἐκείνου* Rwp*Di*, *μετεκεῖνον* A, *ἐκείνου* D *γράμματα βασίλεια* D 17 *τὸν* post *τε* om. p* 18 *στρατιώτας* om. D *κατείργνυσιν* p* 19 *τότε* post *ἀποστασίας* D

Scleri exercitus eo agnito (equus enim erat insignis, nomine
48 Aegyptius) ducem cecidisse ratus effuse fugeret. Qua occasione
Phocas arrepta suosque cohortatus fugientes persequitur, multos
caedit, multos capit; plures etiam a se ipsi conculcati perierunt.
49 Tum demum Sclerus desperatis rebus cum reliquiis ad Chosroen
Babylonium confugit.
50 A Chosroe autem rex per legatos petit, ne tyrannum admittat sui domini oppugnatorem, alioquin malum exemplum ipsi
51. 52 fraudi futurum. Cum autem Babylonius cognovisset eundem
legatum Sclero quoque eiusque militibus afferre litteras regia
manu subscriptas, quibus iis impunitas promitteretur, modo coeptis desisterent seque regi dederent, tam legatum, quam Sclerum
53 cum suis in vincula coniecit. Et hic fuit exitus defectionis illius.

Ἀντωνίου δὲ τοῦ πατριάρχου τὴν ἱερωσύνην ἀπειπαμένου, 6
ἣν ἐπὶ ἔτη ἤνυσεν ἕξ, καὶ μετὰ μικρὸν τελευτήσαντος τέσσαρσι
πρὸς τὸ ἥμισυ ἐνιαυτοῖς ἀρχιερέως ἡ ἐκκλησία ἐχήρευεν, εἶτα W III 175
ὁ Χρυσοβέργης Νικόλαος προκεχείριστο.

Τὰ δὲ Βουλγάρων αὖθις κεκίνητο· ὡς γὰρ ἡ τοῦ Τζιμισκῆ 2
κατήγγελτο τελευτή, τέσσαρσιν ἀδελφοῖς ἀνατιθέασι τὴν σφετέραν
ἀρχήν, Δαβίδ, Μωυσῇ, Ἀαρών τε καὶ Σαμουήλ, οἳ κομητό-
πωλοι ὠνομάζοντο, ὅτι υἱοὶ γεγόνασιν ἑνὸς τῶν παρ' αὐτοῖς
ἐπισήμων καὶ λεγομένων κομήτων. οἱ γὰρ ἐκ τοῦ βασιλείου 3 B
γένους σφίσιν ἐπιλελοίπασι, μόνου περιλειφθέντος ἑνὸς τῶν παί-
δων τοῦ Πέτρου, φημὶ δῆτα τοῦ Ῥωμανοῦ, ὃς ἐκτομίας ἦν,
τῶν δὲ τεσσάρων συγγόνων τῶν κομητοπώλων ὁ μὲν Δαβὶδ 4
τάχιστα τὴν ζωὴν ἐξεμέτρησεν, ὁ δέ γε Μωυσῆς τὰς Σέρρας
πολιορκῶν λίθῳ βάλλεται καὶ θνήσκει εὐθύς. τὸν δ' Ἀαρὼν 5
παγγενῇ τοῦ βίου ἐξήγαγεν ὁ ἀδελφὸς Σαμουήλ, ἢ τὴν ἀρχὴν
ἑαυτῷ μόνῳ περιποιούμενον ἢ τὰ Ῥωμαίων αἱρούμενον (λέγεται
γὰρ καὶ ἀμφότερα), ἑνὸς μόνου τῶν παίδων ἐκείνου περισω-

1 *περὶ πατριαρχῶν* CE 5 *περὶ Βουλγάρων καὶ τοῦ Σαμουὴλ καὶ τῶν ἀδελφῶν αὐτοῦ* CE

1 *ἱεροσύνην* w*p invitis AR 3 *τὸ ἡμίσει* (sic) A, *τῷ ἡμίσει* RwpDi, corr. *B-W*; v. ad XVIII 25, 7 *ἐνιαυτοὺς* EwpDi, v. XIV 1, 33 *ἀρχ.* om. C *ἐχήρευσεν* p* invitis ARw 5 post *δὲ* add. *τῶν* DEwp *τζιμισκῆ* RwpDi, *τζιμισκὴ* AC, *τζυμισκῆ* D, v. ad XVII 1, 1 7 *ἀρχὴν* om. A, suppl. Am *κομητόπουλοι* DE, ut vs. 12 (v. arg. ad XVI 23, 31), *κωμητόπωλοι* C 9 *λεγομένων* B *ου* ab al. manu *ω* superscripto *κομήτων* B^{s}RwpDi (v. XIII 6, 1. 14, 1. 21, 8. XIV 5, 1. XV 19, 11. XVI 23, 32 cet.), *κωμήτων* C, *κομίτων* A *βασιλικοῦ* O 11 post *ὃς* add. *τις* Ewp 12 *κομιτοπώλων* (sic) A, sed supra vs. 7 recte 13 *μωυσῆς* RwpDi, *μωσῆς* A, sed supra vs. 7 recte *μωυσῇ* 14 *δὲ* Dwp

6. Antonius patriarcha, cum sacerdotio renuntiasset, quod per VI annos tenuerat, ac paullo post obiisset atque ecclesia per annos IV et sex menses vacasset, Chrysoberges Nicolaus est designatus.

Interea Bulgari cognito Tzimiscae interitu tumultuantur ac 2
deferunt imperium quattuor fratribus Davidi, Mosi, Aaroni, Samueli, qui cometopoli appellabantur, quod filii erant viri apud
illos illustris et ex iis, quos comites vocant. Nam stirps regia 3
defecerat, uno Romano, Petri filio, superstite, qui eunuchus erat.
Ex iis quattuor cometopolis David statim mortem obiit, Moses 4
in oppugnatione Serrae lapide ictus illico moritur. Fratrem 5
Aaronem cum omni familia, uno illius filio conservato, qui duplici nomine Ioannes Sphendosthlabus dicebatur, Samuel inter-

C θέντος, ὃς Σφενδοσθλάβος καὶ Ἰωάννης διωνύμως ἐκέκλητο.
6 καὶ ἡ τῆς Βουλγαρίας ἀρχὴ εἰς μόνον περιέστη τὸν Σαμουήλ,
7 ὃς τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς ἐμφυλίοις ἀσχολουμένων
ἄδειαν εὑρηκὼς τὰ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἑσπέρια ξύμπαντα D IV 111
περιῄει, οὐ ληιζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα καὶ
8 τὰς πόλεις περιποιούμενος ἑαυτῷ. ἐπεὶ δέ, ὡς ἱστόρηται, τὴν
τοῦ Σκληροῦ τυραννίδα ὁ βασιλεὺς ἀπεσείσατο, ὥργα πρὸς
ἄμυναν τοῦ βαρβάρου καὶ δι' ἑαυτοῦ ἔδοξεν αὐτῷ τὴν ἐκστρα-
9 τείαν ποιήσασθαι. ἔξεισιν οὖν μήτε τῷ μαγίστρῳ Βάρδᾳ τῷ
Φωκᾷ, καίτοι δομεστίκῳ ὄντι τῶν σχολῶν τῆς ἀνατολῆς, περὶ
τῆς πράξεως κοινωσάμενος μήτε μὴν ἑτέρῳ τῶν τῶν ἑῴων
D 10 στραταρχούντων δυνάμεων. ἤδη δὲ πρὸς τὰ Βουλγάρων εἰσιὼν
τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν ἐκέλευσεν εἶναι
11 καὶ τὰς δυσχωρίας τηρεῖν· αὐτὸς δ' εἰσελθὼν τῇ πολιορκίᾳ τῆς
Σαρδικῆς (αὕτη δ' ἐστὶν ἡ Τριάδιτζα) ἐπιχειρεῖν ἡτοιμάζετο.
12 τῶν δυτικῶν δὲ ταγμάτων δομέστικος ὢν ὁ Κοντοστέφανος
Στέφανος καὶ λογισάμενος ὡς εἰ εὐτυχηθείη τὰ τῆς στρατείας
τῷ βασιλεῖ, οὐκ ἄν ποτε παύσαιτο δι' ἑαυτοῦ τοὺς πολέμους

6 *ὅτι ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ Βουλγάρων καὶ τὴν Τριάδιτζαν ἔμελλε πολιορκεῖν* CE 16 *ὅπως ὁ Κοντοστέφανος ἀπάτῃ μετῆλθε τὸν βασιλέα* CE *καὶ πέπεικεν ἀναζεῦξαι* C

1 *σφενδόσθλαβος* Ewp, v. ad XVII 2, 34 3 post *ἐμφυλ.* add. *πολέμοις* Rwp 6 *ἱστόρηται*] XVII 5, 7 ss. 10 *τυγχάνοντι* O 11 *τῶν τῶν* AO (v. ad XIV 17, 9), *τῶν* Ewp*Di* 14 *δὲ* D 15 *Τριαδίτζα Di* 16 *κοντοστέφανος* Rwp*Di*, *κωντοστέφανος* A, sed infra recte 17 *στέφανος* om. Ewp *καὶ* om. B *εὐθυχηθείη* p*

ficit, sive quod summam rerum sibi soli vindicabat, sive quod
6 Romanis studere videbatur; nam utrumque fertur. Is igitur Sa-
7 muel Bulgarorum principatum solus adeptus, dum Romani rebus
civilibus distinentur, occidentales eorum provincias omnes impune
circumit nec populatur tantum, sed et regiones urbesque suae
8 ditionis facit. Qua de causa rex, depulsa Scleri tyrannide, ut
supra docuimus, ulciscendi barbari cupiditate flagrans suis auspi-
9 ciis bellum ei inferre statuit. Egreditur igitur, consilio suo neque
cum magistro Barda Phoca, orientalium scholarum domestico,
10 neque cum ullo alio ducum orientalium communicato. Bulga-
rorum fines iam ingressus, magistro Leone Melisseno pone sequi
11 iusso ad locorum angustias tutandas, ipse Sardicam, quae et
12 Triaditza dicitur, obsidere instituit. Verum occidentalium legio-
num domesticus Contostephanus Stephanus cogitans re bene gesta
regem nunquam non suopte ductu atque auspiciis bella admini-

διατιθέμενος, καὶ οὔτ' αὐτὸς οὔθ' οἱ λοιποὶ στρατιάρχαι ἔτι
αὐτῷ λόγου πολλοῦ νομισθήσονται ἄξιοι, σφῆλαί οἱ διεμελέτησε
τὴν ἐπιχείρησιν καὶ τὴν ὁρμὴν ἀνακόψαι. προσελθὼν οὖν φησι 13
τὸν Μελισσηνὸν τυραννίδι ἐπιχειρεῖν καὶ ἀπιέναι σὺν ταχυτῆτι
πρὸς τὸ Βυζάντιον τὴν βασιλείαν καθέξοντα· καὶ ἠξίου μὴ
μέλλειν, ἀναζευγνύειν δὲ καὶ μὴ ὑπερτίθεσθαι. τοῦτο τὸν βα- 14
σιλέα ἐτάραξε καὶ ἐπάνοδον ἐσήμανε τῷ λαῷ. ὁ δέ γε Σα- 15 P II 220 A
μουὴλ ταῖς τῶν ὀρέων ἐμφιλοχωρῶν κορυφαῖς (οὐ γὰρ ἐθάρρει
κατὰ συστάδην μαχέσασθαι) καὶ τὴν ἀθρόαν ἀναζυγὴν ἰδὼν
δειλίαν ἔκρινε τὸ πραττόμενον καὶ ἔπεισι τοῖς Ῥωμαίοις καὶ
τῷ ἀνελπίστῳ ἅπαντας κατεθρόησε καὶ εἰς φυγὴν ἔτρεψε· καὶ 16
D IV 112 τῆς τε παρεμβολῆς ἐκράτησε καὶ τῆς σκηνῆς τῆς βασιλικῆς καὶ
τῶν παρασήμων τῆς βασιλείας. ὁ δὲ βασιλεὺς μόλις εἰς Φιλιπ- 17
πούπολιν διασέσωστο κἀκεῖ τὸν Μελισσηνὸν εὑρηκὼς κατὰ τοῦ
Κοντοστεφάνου ἐξώργιστο καὶ ὕβρεις κατέχεε τοῦ ἀνδρός. ὁ 18
δὲ δυσανασχετῶν ἐτραχύνετο, καὶ ἀναζέσας ὁ βασιλεὺς τῷ θυμῷ
ἀνέθορέ τε τοῦ θρόνου καὶ τῆς κόμης τοῦ Κοντοστεφάνου
δραξάμενος καὶ τοῦ πώγωνος προσήραξε τὸν ἄνδρα τῇ γῇ. B
Ἐντεῦθεν οἱ τῶν δυνάμεων τῶν Ῥωμαϊκῶν προεξάρχοντες 19

7 *καὶ ὅσα οἱ Βούλγαροι τοῖς Ῥωμαίοις ἐποίησαν ἀναζευγνύουσιν* C 19 *ὅτι ὁ Φωκᾶς Βάρδας* (om. C) *βασιλεὺς ἀνεῤῥήθη* CE

1 *στρατάρχαι* Owp, quam formam aliis locis (XVII 7, 37. XVIII 14, 2) mavult Zonaras. 2. 3 *σφ. αὐτῷ τ. ἐπιχείρησιν ἐμελέτησε* (*-σεν* C) O 5 *ἐς* O 6 ante *ἀναζ.* add. *ἀλλ'* O *δὲ καὶ μὴ*] *μηδ'* O 13 *τοῦ κράτους* O 14 *διασέσωσται* D *κἀκεῖ*] *κἀκεῖνον* E 18 *προσήῤῥαξε* ARwp, corr. *Di*, v. ad XIII 7, 8

straturum, se ceterisque ducibus parvi aestimatis, operam dedit,
ut conatus illius labefactaret atque impetum retardaret. Accedit 13
igitur et Melissenum tyrannidem affectantem festinanter proficisci
Byzantium ad regnum occupandum ait, non cunctandum esse
monens, sed sine mora reducendum exercitum. Id regem ita 14
perturbavit, ut exercitui reditum denuntiaret. At Samuel cacu- 15
mina montium insidens (neque enim cominus decernere audebat)
subito discessu viso Romanos aggreditur, quos metu illud facere
arbitrabatur, et inexspectata impressione omnes turbatos in fugam
compellit nec castris tantum, sed et regis tabernaculo atque in- 16
signibus regni potitur. Sed rex Philippolim aegre evasit, ubi 17
invento Melisseno Contostephanum ira permotus contumeliosis
dictis insectatur, quae cum ille iniquo animo ferens exasperare- 18
tur, rex effervescente bile solio exsiliens Contostephanum coma
ac barba prehensum terrae illidit.
Inde Romanarum legionum principes regi irati: Phocas, 19

μηνιῶντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς ὅτι αὐτῷ αἱ ἐλπίδες ὑπέρ-
ρεον καὶ τὸ τῆς παροιμίας ἐπὶ τὰ Μανδραβόλου ἐχώρουν, οἱ
δὲ ὅτι ὑπερηφάνως αὐτοῖς προσεφέρετο καὶ οὐκ ἐκοινώνει σφίσι
τῶν βουλευμάτων, οἱ δὲ δι' ἕτερ' ἄττα, ἐν τῷ Χαρσιανῷ συν-
αθροίζονται καὶ τῷ Φωκᾷ Βάρδᾳ διάδημα περιέθεντο καὶ τῆς
W III 176 20 βασιλείας ἠξίωσαν. καὶ οἱ μὲν τὰ τῆς ἀποστασίας, ὡς αὐτοῖς
ἐδόκει, εὖ διετίθεντο.
21 Ὁ δὲ Σκληρὸς ἐν Βαβυλῶνι φρουρούμενος ἀνελπίστως
22 ἐξάγεται τῆς φρουρᾶς. τῆς γὰρ τῶν Περσῶν ἀρχῆς καταλυ-
θείσης ὑπὸ Σαρακηνῶν, ἀνήρ τις Πέρσης, Ἴναργος ὄνομα,
C λόγοις παρακινήσας τὸ Περσικὸν πείθει ἀποστατῆσαι τῆς τῶν
Σαρακηνῶν δουλείας καὶ ὅπλα ἄρασθαι κατ' αὐτῶν, αὐτοῦ
23 τοῦ Ἰνάργου στρατηγοῦντος αὐτῶν. πολλάκις μὲν οὖν ὁ Χοσ-
ρόης τοῖς Πέρσαις ἀντηγωνίσατο, τοσαυτάκις δ' ἡττήθη ὁσάκις
24 σφίσι προσέμιξε· καὶ ἀπογνοὺς πρὸς τοὺς ἐμφρούρους κατα-
φεύγει Ῥωμαίους καὶ ἀνίησι μὲν αὐτοὺς τῆς εἱρκτῆς, διαλέγεται

8 ὅτι (ὅπως E) ὁ Σκληρὸς καὶ οἱ παρὰ τοῖς Ἀγαρηνοῖς Ῥωμαῖοι ἀνείθησαν τῶν δεσμῶν καὶ ἐπανελθεῖν εἰς τὰ Ῥωμαίων ὅρια (ὅρια C, **** E) ἠδυνήθησαν CE

1 ἐλπίδες (omisso αἱ) αὐτῷ D   ἐπέρρεον B   2 παροιμίας] V. Steph. thes. V p. 562 A   μανδραβούλου D   3. 15 σφίσι OwpDi, σφῖσι (sic) AE   4 post δὲ add. καὶ Owp   ἑτεράττα A, ἑτεράττα E$B^s$$C_w$wp, ἕτερ' ἄττα D, corr. Di   χαρσιανῷ Rwp Cedr. (Scylitz.) II p. 438, 14, χαρσιῶνι A   5 τῷ] τὸ p*   περιτιθέασι τῷ φωκῆ βάρδα διάδημα O   6. 7 ὡς αὐτοῖς ἐδόκει ante τὰ τῆς D   8 post δέ add. γε RwpDi   10 post ὑπὸ add. τῶν Ewp   ἴναργος E, ἴναρσος D   11 παραθήξας O   ἀπο|στῆσαι C   12. 13 αὐτοῦ—αὐτῶν om. A, add. RwpDi   13 ἰνάργου E, ἰνάρσου D   14. 15 τοσαυτάκις—προσέμιξε om. D

quod spe frustraretur et res suae, ut in proverbio est, Mandraboli
more procederent, alii, quod se contemni putabant consiliis regiis
non communicatis, alii aliis de causis in Charsianum congressi
20 Phocam Bardam diademate ornatum regem appellant, defectione,
ut ipsi putabant, probe administrata.
21 Sclerus autem, qui Babylone custodiebatur, praeter spem
22 custodia educitur. Nam Persarum imperio a Saracenis everso,
vir quidam Persa, nomine Inargus, verbis concitat populares
suadens, ut rupto servitutis iugo arma contra Saracenos se duce
23 sumant. Chosroes autem quamvis saepe cum Persis congressus,
24 tamen nunquam non discessit inferior, desperataque victoria ad
Romanos, qui in custodiis erant, confugit; quibus carcere eductis,
cum Sclero de ratione gerendi belli agit, petita venia malae

δὲ τῷ Σκληρῷ περὶ τοῦ πολέμου καὶ μὴ μνησικακῆσαι τῆς
κακώσεως αὐτῷ ἀξιοῖ. ὁ δὲ πρότερον μὲν παρῃτεῖτο τὸν πό- 25
λεμον, εἶτ' ἐγκειμένου τοῦ Βαβυλωνίου κατανεύει μέν, σὺν
D IV 113 μόνοις δὲ τοῖς Ῥωμαίοις ὑπέσχετο τὸν πόλεμον ὑπελθεῖν. καὶ 26
ἠρευνῶντο τοίνυν τὰ δεσμωτήρια, καὶ ὅσοι εὕρηντο ἐν αὐτοῖς
Ῥωμαῖοι, ἐξήγοντο καὶ ὡπλίζοντο· καὶ ὡσεὶ τρισχίλιοι συν- 27 D
ηθροίσθησαν, οὓς παρειληφὼς ἐχώρησε κατὰ τῶν Περσῶν
καὶ συμβαλὼν νικᾷ· ἀναζεῦξαι δὲ πρὸς τὸν Χοσρόην οὐκέτ' 28
ἔκρινεν οὔτ' αὐτὸς οὔθ' οἱ μετ' αὐτοῦ· ἐδεδοίκεσαν γὰρ μὴ 29
καὶ αὖθις αὐτοὺς καθείρξει ὁ βάρβαρος, καὶ μᾶλλον ὅτι ἐν
πείρᾳ γέγονε τῆς αὐτῶν γενναιότητος. εἴχοντο γοῦν τῆς φυγῆς, 30
καὶ ὁ Χοσρόης πλῆθος εἰς αὐτῶν ἐπιδίωξιν ἔστειλε· καὶ οἱ 31
σταλέντες κατειληφότες τοὺς φεύγοντας, ἐκείνων ὑπάρχοντες
πολλαπλάσιοι, μείους τῶν φευγόντων ἀποδρᾶναι δεδύνηντο, τῶν
ἄλλων ἐκεῖ πεσόντων καὶ Ῥωμαϊκαῖς δαμέντων χερσίν.

Ὁ μὲν οὖν Σκληρὸς καὶ οἱ σὺν αὐτῷ ἐς τὰ Ῥωμαίων 7
ἐπανεληλύθεσαν ὅρια. μαθὼν δὲ καὶ τὸν Φωκᾶν ἤδη βασι- 2 P II 221 A
λειῶντα καὶ τυραννίδος ἀρξάμενον, ἀπονενεύκει πρὸς τὸν Φωκᾶν,
κοινωνὸς ἀξιῶν εἶναι καὶ τοῦ πολέμου καὶ τῆς βασιλείας αὐτῆς.
ὁ δὲ καὶ τὴν κοινοπραγίαν ἐδέξατο, καὶ εἰ τῶν ἐφέσεων τύ- 3

16 *ὅτι κοινωνίαν θέσθαι μετὰ τοῦ Φωκᾶ ἐπὶ τῇ* (om. E) *τυραννίδι ἠθέλησεν ὁ Σκληρός, καὶ ὅπως κατεσχέθη καὶ ἐδεσμήθη* CE

1. 2 *αὐτῷ* ante *τῆς* D 4 *καὶ* om. Rwp 6 *συνηθροίζοντο* B 7 ante *ἐχώρησε* add. *ὁ σκληρὸς* Owp 9 *οὔθ' αὐτὸς* D 10 *καθείρξει* ARwp*Di* (v. I p. 386, 3), *καθείρξῃ* BC 11 *οὖν* D 14 *φευγόντων* AEwp, *διωκομένων* O *Wo* lat. *ἀποδρᾶναι* Ewp*Di*, *ἀποδράναι* AO 16 *εἰς* DEwp*Di*, v. ad XIV 12, 14 17 *ἐπανεληλύθασιν* | D 18 *πρὸς ἐκεῖνον ἀπονεύει* O 20 *καὶ* ante *τὴν* om. CEwp*Di*

tractationis, qui primum quidem bello recusato, tandem Baby- 25
lonio urgente annuit, sed ea conditione, ut solos Romanos in
aciem educat. Carceribus igitur perquisitis, ad tria milia Ro- 26. 27
manorum sunt inventa et arma iis data; qui cum Scleri ductu
et auspiciis Persas vicissent, nec ipsi nec ille ad Chosroen rede- 28
undum esse statuerunt veriti, ne denuo a barbaro in carcerem 29
conicerentur, praesertim tanto virtutis specimine edito. At Chos- 30
roes, dum fuga intenti sunt, magnam turbam ad eos persequen-
dos mittit; qui etsi numero multo superiores commisso proelio 31
pauciores evaserunt fugientibus, ceteris ibi Romanorum manibus
interfectis.

7. Sclerus igitur cum suis Romanorum fines ingressus ad
Phocam se confert, quem regnum spectare ac tyrannidem iam 2
affectasse cognorat, et belli et ipsius regni socius futurus. Ille 3

χοιεν, ἑαυτῷ μὲν τὴν βασιλίδα τῶν πόλεων ἀπένεμε καὶ τῶν
πλειόνων ἐθνῶν καὶ χωρῶν τὸ κράτος, τῷ δὲ Σκληρῷ προσ-
εκλήρου τὴν Ἀντιόχειαν τήν τε Κοίλην Συρίαν καὶ Φοινίκην
καὶ Παλαιστίνην καὶ Μεσοποταμίαν καὶ τὰς συνθήκας ὅρκοις
4 καθ' ἱερῶν ἐμπεπέδωκεν. ἐπὶ τούτοις τεθαρρηκὼς ὁ Σκληρὸς
5 πρόσεισι τῷ Φωκᾷ. ὁ δ' ἐντὸς ἀρκύων τοῦτον λαβὼν ἀφαι-
ρεῖται μὲν αὐτοῦ τὸ σχῆμα δὴ τὸ βασίλειον, καθείργνυσι δὲ
6 καὶ φρουρὰν αὐτῷ περιίστησιν. ὑφ' ἑαυτὸν δὲ καὶ τὴν σὺν
B ἐκείνῳ στρατιὰν ποιησάμενος τοῦ τυραννεύειν εἴχετο κραται-
7 ότερον. ὁ μέντοι Σκληρὸς προμηθευόμενος ἑαυτῷ πρὸς τὸ D IV 114
μέλλον ἐξ ἀποτυχίας σωτηρίαν τινά, πρὸ τοῦ κατασχεθῆναι
πρὸς τοῦ Φωκᾶ τὸν υἱὸν Ῥωμανὸν λάθρα φυγεῖν παρεσκεύασεν,
8 ὡς αὐτομολοῦντα τῷ βασιλεῖ· ὃς καὶ περιχαρῶς παρὰ τοῦ κρα-
τοῦντος ἐδέχθη καὶ μάγιστρος ἐτιμήθη εὐθύς.
9 Ὁ Φωκᾶς δὲ ἀπόμοιράν τινα τῆς στρατιᾶς ὑπὸ τὸν πα-
τρίκιον τάξας τὸν Δελφινᾶν εἰς τὴν ἀντικρὺ τῆς βασιλίδος ἐκ-
πέμπει Χρυσόπολιν, αὐτὸς δὲ σὺν τῇ λοιπῇ δυνάμει ἀφίκετο
10 πρὸς τὴν Ἄβυδον. τῷ μέντοι Δελφινᾷ ἐστρατοπεδευκότι κατὰ
Χρυσόπολιν αἰφνίδιον ἐπῆλθεν ὁ βασιλεὺς μετὰ λαοῦ Ῥωσικοῦ

10 ὅτι πρὸ τοῦ δεσμηθῆναι λάθρα ὡς αὐτόμολον ἔπεμψε τὸν υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα ὁ Σκληρός C 15 περὶ τοῦ Δελφινᾶ CE 18 ὅπως ἑάλω καὶ ἀνεσκολοπίσθη CE

1 ἀπένεμε ante τὴν O ἀπένειμε w*p invitis AR 4 post μεσοποτ. add. καὶ αἴγυπτον Ewp 5 ἐμπεπέδωκαν D 6 τῷ Φ.] τὸν | φωκᾶ D 8 περιίστασιν D 10. 11 σωτηρίαν πρὸς τ. μέλλον τινὰ ἐξ-αποτυχίας D 16 ἄντικρυ w*p invitis AR

et societatem amplexus est et, si votorum compotes fierent, sibi
urbem regiam et plurium gentium ac provinciarum imperium vin-
dicat, Sclero Antiochiam, Coelesyriam, Phoeniciam, Palaestinam,
4 Mesopotamiam attribuit eaque pacta iureiurando sancit. Quo
5 Sclerus fretus cum ad Phocam se contulisset ac iam intra casses
esset, primum habitu regio privatur, deinde in carcerem coniecto
6 custodia adhibetur; et copiis illius ascitis, Phocas tyrannidem
7 suam firmat. Enimvero Sclerus priusquam ab Phoca comprehen-
deretur, ut, si res male cessisset, receptum aliquem haberet ac
spem salutis, curarat, ut filius suus Romanus, clam arrepta fuga,
8 ad regem deficeret, a quo et cum gaudio exceptus est et statim
magister designatus.
9 Phocas autem Delphina patricio cum parte copiarum Chry-
sopolim, quae est e regione urbis regiae, misso, ipse cum reliquo
10 exercitu Abydum proficiscitur. Rex vero Delphinam, cum ad
Chrysopolim castra fecisset, subito cum Russico exercitu adortus

(κῆδος γὰρ πρὸς Βλαδιμηρὸν τὸν ἄρχοντα τούτων ἐπὶ Ἄννῃ
τῇ ἀδελφῇ αὐτοῦ θέμενος συμμαχικὸν ἐκεῖθεν ἐδέξατο) καὶ C
ῥᾷον τῶν ἐναντίων ἐκράτησε καὶ αὐτὸν τὸν Δελφινᾶν χειρωσά-
μενος ἀνεσκολόπισεν. εἶτα πρὸς τὴν Ἄβυδον ἄπεισι μετὰ τοῦ 11
ἀδελφοῦ Κωνσταντίνου· καὶ ἤδη ἀντιμέτωπα ἔστησαν τὰ ἐναντία
στρατεύματα, καὶ τοῦ μὲν οἰκείου προετέτακτο ὁ Φωκᾶς, τὸ
δ' ἀντίμαχον ὁ βασιλεὺς Βασίλειος ἔφιππος περιὼν παρεθάρ-
ρυνεν· ὃν ὁ Φωκᾶς θεασάμενος κατ' αὐτοῦ τὸν ἵππον ἐλαύνει, 12 W III 177
ὅλην ἐκείνῳ τὴν ἡνίαν ἐνδεδωκώς, κρίνας, ὡς εἰ ἐκεῖνον κατα-
βαλεῖ, ἔσεται τὸν ἀγῶνα νενικηκώς. ἀλλ' οὔπω τῶν οἰκείων 13
προεληλύθει πολύ, καὶ οἱ μὲν αὐτὸν ἐκκυλισθῆναι τοῦ ἵππου
φασίν, οἱ δὲ εἴς τινα λόφον ἐκκλῖναι καὶ ἀποβάντα τοῦ ἵππου ἐκτα-
θῆναι κατὰ γῆς καὶ εὐθὺς αὐτὸν τὸ πνεῦμα λιπεῖν. οἱ μὲν 14 D
οὖν πληγῆναι παρά του καιρίαν τὸν ἄνδρα ἔλεγον. καὶ ὁ βα- 15
σιλεὺς δὲ Κωνσταντῖνος ἑαυτῷ τὴν ἀναίρεσιν ἐκείνου ἐπεφήμιζε·
τοῦτο δ' ἦν λόγος ἄλλως· οὐδὲ γὰρ τετρωμένον αὐτοῦ τὸ σῶμα
D IV 115 εὕρητο οὐδαμῇ. οἱ δὲ φαρμάκῳ δηλητηρίῳ ἐδόξαζον κατερ- 16

8 ὅπως (ὅτι A) ὁ Φωκᾶς κατέστρεψε τὴν ζωήν ACE

1 τὸν RwpDi Cedr. (Scylitz.) II p. 444, 7, om. A 4 ἀνεσκολόπισεν RwpDi, ἀνεσκολόπισε A, v. ad XIII 1, 5 6 προέτακτο B, προτέτακτο D 7 περιὼν RwpDi, παριὼν A 9 εἰ om. E 10 ἔσεται AOwp, ἐσεῖται E, ἔσται Di, v. ad XVI 23, 34 νεανικῶς mutat ex νεανηκῶς E 12 φησὶν C ἐκκλῖναι EwpDi, ἐκκλίναι AO 13 κατὰ γῆς AR (πρὸς γῆν Cedr. (Scylitz.) II p. 445, 6), κατὰ τῆς γῆς CEwp 14 καιρίαν ante παρὰ O 15 τ. ἐκείνου ἀναίρ. Rwp; cum Zonaras ἐκείνου, ἐκείνης, ἐκείνων ponat modo inter substantivum et articulum (I p. 9, 5. 11, 6. 8 (cod. A). 12, 19. 26, 16 cet.), modo post substantivum (I p. 5, 10. 11, 2 cet.), auctoritati optimi codicis est astipulandum (v. ad XVIII 15, 3) ἐπεφήμιξε D 17 οὐδαμοῦ O, μηδαμῇ Ewp

(nam cum Bladimero duce eorum, sorore Anna ducta, affinitatem
iunxerat atque auxilia inde arcessiverat) hostibus facile superatis,
ipsum Delphinam captum palo affixit. Deinde Abydum cum 11
fratre Constantino proficiscitur; cum autem utrique exercitus in
procinctu starent, et Phocas suas copias antecedens regem Ba-
silium equo circumvectum legiones cohortantem vidisset, totis 12
habenis laxatis, equo concitato in illum fertur, eo prostrato se
toto discrimine fore defunctum ratus. Sed antequam suos mul- 13
tum antecessisset, alii eum equo devolutum ferunt, alii, cum in
tumulum quendam declinasset equoque descendisset, humi ex-
tentum statim exspirasse, alii a quodam mortifero vulnere affectum 14
esse. Rex quidem Constantinus caedem eius sibi arrogabat, falso uti- 15
que, quoniam eius corpus vulneratum nusquam est repertum. Alii, 16

*γασθῆναι αὐτόν, ὃ καὶ μᾶλλον ἔδοξε πιθανώτερον· τό γέ τοι
φάρμακον ἡτοιμάσατο μὲν ὁ Βασίλειος, προσέφερε δὲ τῷ Φωκᾷ*
17 *ὁ τούτῳ οἰνοχοεύων, παρὰ τοῦ βασιλέως ὑποκλαπείς. πεσόντος
δὲ τοῦ Βάρδα τὸ μετ' αὐτοῦ στράτευμα διεσκέδαστο, καὶ οἱ
μὲν ἐκτείνοντο καταλαμβανόμενοι, οἱ δ' ἐζωγροῦντο καὶ συσχε-*
P II 222 A *θέντες κατὰ τὸ δόξαν τῷ βασιλεῖ ἐκολάσθησαν.*
18 *Ὁ δὲ ἀλλοιότερος ἦν ἢ τὸ πρότερον· σοβαρός τε γὰρ ἐγε-
γόνει καὶ τὸ ἦθος ὑποκαθήμενος καὶ πάντας ὑπώπτευε καὶ*
19 *τὴν ὀργὴν ἐτύγχανεν ἀπαραίτητος. καὶ οὐ τοῖς ἄλλοις μόνον
τὸ σοβαρὸν ἐπεδείκνυτο, ἀλλὰ μὴν καὶ τῷ παρακοιμωμένῳ
αὐτῷ ἤχθετό τε τἀνδρὶ καὶ εἰς ἑαυτὸν ἔσπευδε μετενεγκεῖν τὴν*
20 *τῶν πραγμάτων διοίκησιν. καὶ μέντοι καὶ μεθίστησι τῆς τῶν
κοινῶν οἰκονομίας αὐτόν, οἴκοι μένειν ἀπρόϊτον ἐπιστείλας αὐτῷ,
εἶτα μετὰ μικρὸν καὶ ὑπερόριον τίθησι καὶ τῶν ἐκείνῳ πεπρα-
γμένων ἕκαστον ἀνακρίνων ἀπραξίαν τῶν πλειόνων κατεψηφί-*
21 *ζετο· καὶ τοῦ παρ' ἐκείνου δομηθέντος σεμνείου τὰ πλείω*
B *ὑφείλετο, καὶ οὐκ ἀγρῶν ἥψατο μόνον ἢ χωρίων καὶ οἰκιῶν,
ἀλλὰ καὶ ἀναθημάτων τε καὶ πλακῶν καὶ κιόνων πολυτελῶν.*

7 *οἷος ὁ βασιλεὺς Βασίλειος τὸ ἦθος ἐγένετο μετὰ τὴν κατάλυσιν τοῦ Φωκᾶ* CE 9 *ὅπως τὸν παρακοιμώμενον ὁ βασιλεὺς ἀπεσκευάσατο. καὶ ὅπως πρὸς ἐκεῖνον διετέθη* CE

1 *γέ τοι* AO (*γέ τι* D), *μέντοι* Ewp 2 *προσέφερε*] *προ|σὲ* D 3 *τούτῳ* Rwp*Di* (Psell. p. 12, 9), *τούτου* D, *τοῦτο* A *ἐ π* C, *παρὰ* Cw, v. ad XVII 8, 17 5 *κτεινόμενοι* C, *ἐκτείνοντο* corr. Cw 7 *ὁ*] *οἱ* C, corr. Cw *ἀλλοιότερος* AO*Wo* lat., *ἀγριώτερος* Ewp *σοβαρῶς* B *τε* om. D 11 *αὐτῷ* om. D *ἤχθε τότε* p* *τῷ ἀνδρὶ* D 14 *καὶ* prius om. Rwp 15 *κατεψηφίσατο* Ewp 16 *ἐκείνῳ* Ewp 17 *ἀφείλετο* BCwp *μόνων* ex *μόνον* mutat E, v. ad XIV 6, 31

quod quidem probabilius est, putavere toxicum ei a Basilio prae-
paratum, a pincerna corrupto largitionibus regiis fuisse propina-
17 tum. Bardae strati exercitus dissipatus est, aliis caesis, aliis
captis, in quos rex suo arbitratu animadvertit.
18 Erat Basilius mutatus ab illo, qui prius fuerat, et factus
arrogans, demisso ingenio, suspicax in omnes, iracundia inexora-
19 bili; neque in alios dumtaxat, sed in ipsum etiam praepositum
cubiculi talem se praebuit. Quem cum odisset atque ipse rerum
20 administrationem capessere vellet, tum a reipublicae negotiis
removit, tum domo eum egredi vetuit nec multo post relegavit,
21 tum actis eius omnibus perquisitis pleraque rescidit, tum mona-
sterium ab eo exstructum maxima ex parte spoliavit nec agros

ὅθεν ἐκεῖνος διὰ ταῦτα νέφει περισχεθεὶς ἀθυμίας παρεῖτο τὰ 22
μέλη καὶ ἔμπνους ὤπτο νεκρὸς καὶ βραχύ τι διαλιπὼν οἰκτρῶς
τὸν βίον ἐξέλιπεν. ὁ δὲ τότε πρῶτον γέγονεν αὐτοκράτωρ ὡς 23
ἀληθῶς καὶ γνοὺς πηλίκων δεῖται φροντίδων ἡ τῆς βασιλείας
διοίκησις, τῆς τε βασιλικῆς ἁβρότητος κατεφρόνησε καὶ τῶν
λαμπρῶν ἐπιβλημάτων ἀπέσχετο καὶ γλυκυθυμίαν ἅπασαν ἀπ-
εσείσατο, καίτοι πρῴην μὴ οὕτω βιούς, ἀλλὰ καὶ ἐρώτων ἡττώ- 24
μενος καὶ κώμοις καὶ τρυφαῖς ἑαυτὸν ἐκδιδοὺς καὶ βασιλείοις
D IV 116 *περιττότησιν ἐνηδόμενος. ἑαυτῷ δὲ μόνῳ προσκληρώσας τὴν* 25
ἐξουσίαν τοῦ ὀνόματος μόνου τῆς βασιλείας καὶ τοῦ ἐπισήμου
χρώματος μετεδίδου τῷ ἀδελφῷ καί τινα δορυφορίαν ἐκείνῳ
ἀπέταξε, βραχεῖαν μέντοι καὶ οὐκ ὑπέρογκον. ὁ δὲ ἔφερε καὶ 26 C
οὐκ ἠμφισβήτει τῷ ἀδελφῷ, ἤθους ἀνειμένου τυχών, οἶμαι, καὶ
χαίρων ὑγροτέρᾳ ζωῇ καὶ διαγωγῇ τρυφερᾷ καὶ θήραις καὶ
ἡλικιωτῶν συνουσίαις οἷς συνετρέφετο. τὼ μὲν οὖν ἀδελφὼ
καὶ ἄμφω εἰχέτην οὕτως.

Ὁ δέ γε Σκληρὸς τοῦ Φωκᾶ θανόντος λυθεὶς τῆς εἱρκτῆς 27

1 *τελευτὴ τοῦ παρακοιμωμένου* CE 7 *οἷος ἦν ὁ βασιλεὺς πρὸ τοῦ* (om. E) *τῆς ἐξουσίας ἐπιλαβέσθαι* (*λαβέσθαι* E) *καὶ οἷος μετὰ ταῦτα ἐγένετο·* CE *καὶ ὅπως ἐκέχρητο τῷ ἀδελφῷ· καὶ οἷος ἦν ἐκεῖνος τὸ ἦθος* C 17 *ὅτι αὖθις ὁ Σκληρὸς τῆς τυραννίδος εἴχετο. καὶ ὅπως ἐσπείσατο. καὶ προσῆλθε τῷ βασιλεῖ καὶ ἐδέχθη* CE (*καὶ ἐδ.* om. E)

5 *ἀβρότητος* B⁸(?)wp *τῷν* D 7 *ἐρότων* p* 8 *τρυφαῖς*] *μέθαις* D *βασιλείας* Ewp 10 *μόνου* AE, *οἵου* R, *οἵου* C, *μόνον* w*p 13 *ἦθος* E *οἶμαι* om. O*Wo* lat. 14 *ὑγρ. ζωῇ—διαγ. τρυφερᾷ*] De chiasmo v. ad XIII 2, 6 *ζοῇ* p* 15 *συνουσία* E(wp) |*οἷς* A, *τῶν οἷς* Rwp 17 *τ. εἱρκτῆς λυθεὶς* D *εἰρκτῆς* AR, *εἱρκτῆς* Dwp

tantum aut fundos invasit et aedes, sed etiam donaria, tabulas,
columnas pretiosas. Quas ille ob res animi aegritudine oppres- 22
sus membrisque resolutis nihil aliud nisi mortuum corpus spirans
brevi miserabiliter est exstinctus. Basilius vero tum demum vere 23
imperator factus cum intellexisset, quantam sollicitudinem regni
administratio postularet, delicias regias sprevit, splendidis vesti-
bus abstinuit omnemque suavitatem repudiavit, quamvis prius 24
non ita vixisset, sed et amoribus indulsisset, comessationibus et
voluptatibus deditus regioque luxu delectatus. Ita omni aucto- 25
ritate sibi vindicata fratri nihil impertiit, nisi nomen et colorem
insignem, custodia illi quidem attributa, sed exigua neque ma-
gnifica. Quae ille, ut homo remissioris, puto, ac mollioris ingenii 26
et voluptarius, venationibus et aequalium suorum consuetudine
gaudens aequo ferebat animo neque fratri adversabatur. Atque
illorum erat hic status.

Sclerus autem, Barda mortuo, vinculis solutus a priore in- 27

εἴχετο καὶ αὖθις τοῦ πρὶν ἐγχειρήματος καὶ τυραννεῖν καὶ πά-
28 λιν οὐκ ἀνεβάλλετο. ὁ δὲ βασιλεὺς γράμμασι πρὸς αὐτὸν ἐγχα-
ραχθεῖσι παρῄνει τὸν ἄνδρα παύσασθαι τῆς ἀπονοίας ποτὲ καὶ
μὴ ἀεὶ βούλεσθαι αἴτιον εἶναι πολέμων ὁμογενέσι καὶ τὴν γῆν
D 29 αἵμασι χραίνειν, καὶ τούτοις χριστιανῶν. ὁ δὲ τῷ τε γήρᾳ
τρυχόμενος ἤδη καὶ πρὸς τὸ μέλλον ἰλιγγιάσας σπένδεται καὶ
30 πρόσεισι τῷ κρατοῦντι. κἀκεῖνος ὑπὸ σκηνὴν καθῆστο βασί-
λειον, καὶ ὁ Σκληρὸς βάδην ᾔει πρὸς τὴν σκηνήν, ὑπερειδό-
μενος ἑκατέρωθεν, τὸ μέν τι διὰ τὸ γῆρας, τὸ δὲ διὰ τὸν ὄγκον
31 τοῦ σώματος· ἦν γὰρ εὐμεγέθης· ὅτε καὶ τὸ ᾀδόμενον εἰπεῖν
ὁ βασιλεὺς Βασίλειος λέγεται "ὃν ἐδεδοίκειν προσάγεταί μοι
W III 178 32 χειραγωγούμενος." οἱ δὲ ἀορασίᾳ πληγῆναί φασι τὸν Σκληρὸν
33 ἐν τῷ ἀπιέναι καὶ διὰ τοῦτο χειραγωγεῖσθαι. ἐγγίσαντος δὲ
P II 223 A τοῦ ἀνδρὸς τῇ σκηνῇ, κατανοήσας ὁ βασιλεὺς ἔτι τοὺς πόδας
αὐτοῦ ὑποδουμένους ὑποδήμασι φοινικοῖς (τὰ μὲν γὰρ ἄλλα
τῆς βασιλείας γνωρίσματα ὁ Σκληρὸς ἀπεδύσατο, τὰ δέ γε πέ-
διλα οὐκ ἀπέθετο 'ἢ γὰρ λάθετ' ἢ οὐκ ἐνόησεν') ἀπέστρεψε
τὰς ὄψεις εὐθύς, μὴ ἄλλως αὐτῷ ἐντυχεῖν ἀνεχόμενος εἰ μὴ
34 ἐν ἰδιώτου στολῇ. ὁ δὲ πρὸ τῆς σκηνῆς ἀπορρίψας τὰ ἐπί- D IV 117
φθονα πέδιλα οὕτως ὑπέδυ αὐτήν, καὶ ὁ βασιλεὺς ἐξανέστη

1 πρὶν] νῦν B 4 βούλεσθαι om. C exeunte versu 8 ὑπερερειδόμενος p* 9 μέντοι ARwp, corr. *Di*, v. XIV 13, 18. XVIII 19, 26 11 ἐδεδόκειν D 12. 13 φασι omisso post αὐτοκράτορα (v. ad vs. 13) add. λέγουσι D 13 post ἀπιέναι add. πρὸς τὸν αὐτοκράτορα Owp*Di* καὶ Rwp*Di*, om. A 15 φοινίκοις D 16. 17 ἀπέθετο ὁ σκληρὸς ἀλλ' οὐχὶ καὶ τὰ πέδιλα O 17 ἢ λάθετ' ἢ οὐκ ἐνόησεν] Hom. Il. IX 537 λάθετ' B[s]Dwp*Di*, λάθε τ' C, λήθετ' E, λήθη τ' A ἐνόησεν Rwp*Di*, ἐνενόησεν A 19 ἐπίφθορα D

28 stituto non recedebat, regnum propere affectaturus. Sed a rege
per litteras monitus, ut tandem omissa rabie continentium bel-
lorum civilium auctor esse desineret neve terram sanguine pol-
29 lueret eoque Christianorum, cum et senectute iam affligeretur
neque optimam spem foveret, per pactiones ad illum se confert.
30 Qui cum in regio tabernaculo sedens Sclerum peditem accedere
videret utrimque suffultum tum quidem ob senectutem, tum ob
31 molem corporis (grandis enim erat), celebratum illud dixisse rex
32 Basilius fertur: "Quem timueram, ad me manu ducitur." Alii
Sclerum in illo accessu visum amisisse ferunt eaque de causa
33 ductoribus fuisse usum. Cum prope tabernaculum venisset, rex
animadversis puniceis eius calceis (nam cetera insignia regia
Sclerus deposuerat, calceis solis sive per oblivionem sive per
incogitantiam retentis) statim avertit oculos neque cum eo nisi
34 privati habitu colloqui sustinuit. Cum igitur ante tabernaculum
invidiosos illos calceos abiecisset, ita ingresso rex assurrexit por-

καὶ τὸν ἄνδρα ἐδεξιώσατο, καὶ ὡμιλησάτην ἀλλήλοιν καὶ ἐκοινω-
νησάτην τραπέζης καὶ ἐπιέτην ἐκ τῆς αὐτῆς κύλικος. τοῦτον 35
μὲν οὖν τὸν τρόπον καὶ ἡ τοῦ Σκληροῦ τυραννὶς καταλέλυτο,
αὐτοῦ μὲν κουροπαλάτου τιμηθέντος, τῶν δὲ συναραμένων αὐτῷ
παραχωρηθέντων ἔχειν ὃ ἂν ἕκαστος ἐξ ἐκείνου τυραννοῦντος B
εἰλήφει, εἴτ' ἐν ἀξίαις ἦν εἴτ' ἐν ἀρχαῖς εἴτε μέντοι ἐν κτήσεσιν.
Ὁ δὲ βασιλεὺς τὰς τῶν ἀποστασιῶν φροντίδας ἀποφορτι- 36
σάμενος ἐπὶ τὴν Θρᾴκην ἐξῄει καὶ εἰς Θεσσαλονίκην ἐφοίτησε,
τῷ περιωνύμῳ μάρτυρι ἀνθομολογούμενος. καταλείψας δ' ἐκεῖ 37
στρατάρχην τῶν ἐπισήμων μετὰ βαρείας δυνάμεως, ἵνα κωλύῃ
τὰς τοῦ Σαμουὴλ ἐκδρομάς, ἐπάνεισι πρὸς τὴν Βύζαντος καὶ
εἰς Ἰβηρίαν ἀπῄει, κληρονόμος καταλειφθεὶς παρὰ τοῦ κουρο-
παλάτου Δαβὶδ θανόντος τῆς ἐκείνῳ διαφερούσης ἀρχῆς. ἐν- 38
θαπερ γεγονὼς καὶ τῆς καταλειφθείσης αὐτῷ χώρας ἐπιλαβό-
μενος καὶ τὸν τοῦ Δαβὶδ ἀδελφὸν τὸν Γεώργιον τῆς ἐνδοτέρας
Ἰβηρίας ἡγεμονεύοντα παρασκευάσας ἡσυχίαν ἄγειν καὶ τοῖς C
ἰδίοις ἀρκεῖσθαι καὶ ὅμηρον τὸ ἐκείνου παῖδα λαβών, ἐπὶ Φοι-
νίκην ἐχώρησε. καὶ τόν τε τῆς Τριπόλεως ἄρχοντα καὶ τὸν τῆς 39

9 *ὅτι κληρονόμος τῆς Ἰβηρίας καταλειφθεὶς ὁ βασιλεὺς ἐκεῖσε ἀπῆλθε καὶ ὅσα κατώρθωσε* (*ἀπῆλθεν ἐκεῖ* ceteris omissis C) CE 13 *ὅσα ἐν Ἰβηρίᾳ καὶ Φοινίκῃ κατώρθωσεν* O

1 *ἐδεξιώσατο*] *ἐξώσατο* E *ἐκοινώσατο* Ewp, *ἐκοινωσάτην* D 2. 3 *ἡ μὲν οὖν τοῦ σκληροῦ τυραννὶς τὸν τρόπον τουτονὶ καταλέλυτο* (*κατελύετο* D) O 3 *καταλέλυται* Ewp 4 *τιμηθ. κουροπ.* O 6 *ἀξίαις ἦν εἴτ' ἐν ἀρχαῖς* AEwp, *ἀξίαις* (*ἐξουσίαις* C) *εἴτ' ἐν ἀρχαῖς ἦν* R, *ἀρχαῖς ἦν* ceteris omissis D 10 *κωλύει* DEwp 15 *τοῦ* om. D *τὸν* alterum om. O 16 *ἡσυχ. ἄγειν* om. D 18 *ἐφοίτησε* O

rectaque dextera collocutus et eadem uterque mensa usus est
et ex eodem calice biberunt. Hoc modo sopita Scleri tyrannide, 35
ipse curopalata est designatus et quem quisque adiutorum eius
dignitatis vel potestatis gradum quasve possessiones ab illo re-
gnante acceperat, ea retinere licuit.
Rex curis defectionum levatus in Thraciam abiit et Thes- 36
salonicam accessit, ut celebri martyro gratias ageret. Ibi viro 37
illustri cum magnis copiis duce relicto ad excursiones Samuelis
coercendas Byzantium redit; inde in Iberiam proficiscitur, Davide
curopalata mortuo, a quo eius ditionis heres institutus fuerat,
doctrina institutus legumque civilium haud ignarus; plura tamen
omnino se scire quam sciebat et putabat et gloriabatur.

14. Quo hunc vitae exitum sortito, regina uno studio erat 2
incitata, ut Michaëlem in regio solio collocaret, quamvis fami-
liares eius, paterni videlicet ministri, suaderent, ut mora inter-
posita deliberaret. Quod aspernata consilium rem ad finem per- 3
ducere festinabat, incitante praesertim spadone Ioanne, fratre
Michaëlis, qui ei clam insusurrarat sese omnes statim perituros,

βοῦσα τοίνυν εὐθὺς τὸν Μιχαὴλ καὶ στολὴν αὐτῷ περιθεμένη
βασίλειον καὶ διαδήματι τὴν ἐκείνου κεφαλὴν αὐτὴ ἀναδήσασα
καὶ ἐπὶ θώκου βασιλικοῦ καθιδρύσασα καὶ αὐτὴ παρακαθισα-
μένη πᾶσι τοῖς τότε παροῦσι καὶ εὐφημεῖν καὶ προσκυνεῖν προ-
P II 235 A 5 ετρέπετο. οἱ δὲ καὶ τότε αὐτίκα νυκτὸς τὴν ἱεροτελεστίαν τὴν
γαμικὴν ἐπ' αὐτοῖς γενέσθαι ἱστόρησαν, τοῦ πατριάρχου Ἀλεξίου
ἀφικομένου πρὸς τὰ βασίλεια καὶ τὸν μὲν Ῥωμανὸν τεθνεῶτα
καταλαβόντος, τὸν δέ γε Μιχαὴλ ἔτι τὰ ἐπὶ τῇ βασιλείᾳ τελού-
6 μενον. ἤδη δὲ καὶ τοῖς ἔξω διαδοθέντος τοῦ γεγονότος, καὶ
πᾶσα ἡ πόλις τὸν νέον ἀνηγόρευεν αὐτοκράτορα, τὸ μὲν αὐτῷ D IV 13
χαριζόμενοι, τὸ δ' ὅτι τὸν ἀπιόντα ἀπεφορτίσαντο χαίροντες.
7 ἡ μὲν οὖν βασιλὶς ᾤετο βουλεύσασθαι ἄριστα καὶ ἑαυτῇ τὴν
πᾶσαν ἐξουσίαν περιποιήσασθαι καὶ τὸν Μιχαὴλ ὑπηρέτην ἕξειν·
8 τὸ δέ τι ἑτεροῖον συμβέβηκε. μέχρι μὲν γάρ τινος ἐσχηματί-
B ζετο τηρεῖν πρὸς τὴν βασιλίδα διάθεσιν καὶ ταύτῃ χαρίζεσθαι
9 καὶ τὰ ἐκείνῃ θυμήρη ποιεῖν· εἶτα οὐκ εἰς μακρὸν ἐκτεῖναι τὴν
προσποίησιν ἀνασχόμενος μεθαρμόττεται καὶ ὑποπτεύει αὐτὴν
καὶ δείσας περὶ ἑαυτῷ μεθίστησι μὲν τῶν βασιλείων τοὺς ἐκτο-
μίας τοὺς αὐτῆς πατρῴους θεράποντας καὶ τὰς αὐτῆς συνήθεις

12 οἴως (ὅπως E) διετέθη πρὸς τὴν βασιλίδα ὁ Μιχαήλ CE

5 οἱ] ἔνιοι BCEwp 7 μετακληθέντος BC 9 καὶ alterum om. BC 14 ἀποβεβήκει BC 15 post τηρεῖν add. τὴν CwwpDi invitis AR et Psell. p. 50, 16 16 μακρὰν DEwpDi, v. ad XVIII 22, 17 18 δείξας D τ. ἐκτομίας om. C 19 αὐτῇ συνήθεις BaCEwpDi

4 si qua in negotio mora interponeretur. Statim igitur Michaëli
ornatum regium accommodat atque eius caput diademate ornat,
tum ei in regio solio collocato assidens omnes, qui aderant,
5 hortatur, ut eum salutent et adorent. Quidam auctores sunt tum
statim sacrum nuptiale nocte peractum, patriarcha Alexio in regiam
arcessito, qui et Romanum mortuum et Michaëlem imperii auspicia
6 tunc peragentem invenerit. Quibus rebus etiam foris vulgatis,
tota civitas novum imperatorem consalutabat, partim huic gra-
7 tificantes, partim laeti, qui defuncti odio liberati essent. Reginam
autem ratam se quam rectissime sibi prospexisse omnique po-
testate in se translata Michaëlem habituram ministrum spes valde
8 fefellit. Nam aliquamdiu ille quidem pristino amore simulato
obsequiis mulierem demulcebat eaque, quae illi grata essent, fa-
9 ciebat. Sed cum simulationem longius producere non posset,
mutatis moribus eam suspectam habet et sibi metuens primarios
illius ministros castratos e regia eicit, ancillis item amotis fami-

θεραπαίνας αὐτῆς διαιρεῖ, ἑτέρας δ' αὐτῇ πρὸς θεραπείαν ἀντι-
καθίστησι. καὶ ἐπὶ τούτοις τὴν γυναικωνῖτιν αὐτῇ ἀποφρά- 10
γνυσι καὶ φρουρὰν περιίστησι, καὶ οὐδενὶ προσιέναι ταύτῃ παρα-
κεχώρητο, εἰ μὴ τὸν προσιόντα ὁ φρούραρχος κατεξήτασεν
ὅθεν ἥκοι καὶ τίνος δεόμενος παραγένοιτο· ἐδεδίει γὰρ οἴκοθεν
ἔχων τοῦ δέους τὰς ἀφορμάς. εἰς ταῦτα δ' ἐνάγεσθαι πλέον 11
ὁ Μιχαὴλ λέγεται παρὰ τοῦ συγγόνου αὐτοῦ Ἰωάννου τοῦ ἐκτο- C
μίου. ἦν γὰρ καὶ δεινὸς ὁ ἄνθρωπος καὶ δραστήριος καὶ τὸ 12
ἦθος ὑποκαθήμενος καὶ πρὸς τοὺς ἐντυγχάνοντας ποικιλλό-
μενος, περισπερχής τε καὶ πρὸς φροντίδων ὄγκον ἀκάματος
καὶ οὐδὲ γαστριζόμενος οὐδὲ περὶ τὸν ἄκρατον λιχνευόμενος
(ἥττητο γὰρ οἴνου) τῆς περὶ τὰς δημοσίας διοικήσεις καθυφίει
σπουδῆς. καὶ τὰ μὲν οὖν περὶ τὴν βασίλισσαν ᾠκονόμητο 13
οὑτωσί· ὁ δὲ Μιχαὴλ τῆς τῶν κοινῶν πραγμάτων οἰκονομίας
ἀντείχετο. εἶτα τῷ μὲν ἐκραταιοῦτο ἡ νόσος, ἣν οἱ μὲν ἐκά- 14
λουν δαιμόνιον μήνιμα διὰ τὴν ἐπιορκίαν ἐνσκῆψαν αὐτῷ καὶ
D IV 138 συμπνῖγον τὸν ἄνθρωπον, ὡς πάλαι δὴ τὸν Σαούλ, οἱ δὲ μα- W III 188

8 *οἷος ἦν τὸ ἦθος ὁ τοῦ βασιλέως (μιχαὴλ* E) *ἀδελφὸς ὁ* (om. C) *Ἰωάννης* CE   *φεῦ* E   15 *περὶ τῆς νόσου τοῦ βασιλέως Μιχαήλ* CE

1 *θεράπαινας* Ewp   *αὐτῇ*] *αὐτὴ* A   2 *γυναικωνίτην* Ewp, *γυναικωνίτιν* AO, corr. *Di*   *αὐτῇ* om. DE   4 *κατηξήτασεν* D   5 *ἥκοι*] *νίκῃ* D   *καὶ—παραγένοιτο* om. A, add. Rwp*Di*, v. Psell. p. 55, 29   *ἐδεδίει*] *οἱ δὲ διὰ* (*διὰ* punctis notatum) D   *οἴκωθεν* C, corr. C_w 6 *ἔχων* om. C, suppl. C_w 8 *καὶ* post *γὰρ* om. Ewp   *ὁ ἄνθρωπος* AEwp, *ἄνθρωπος* D, *ὁ ἀνὴρ* R   12 *ἥττητο γὰρ οἴνου* AR, *ὅτι δὲ ἥττητο οἴνου* D, *οὐδὲ ἡττώμενος οἴνῳ* (*οἴνου* wp*Di*) E(wp*Di*), *ἀήττητος δ'* (mutatum ex *γὰρ*) *ὢν οἴνῳ οὐδὲν* C_w, v. Psell. p. 54, 14 ss.   *τῆς*] *τῆς* B, *ὅτε τῆς* B_w *τὰς διοικήσεις δημοσίας* C   13 *καὶ* om. Rwp*Di*   *τῆς βασιλείας* C, corr. C_w 14 *κοινῶν* exitu versus om. D   17 *συμπνίγον* ARwp, corr. *Di*   *σαμουήλ* D

liaribus aliisque substitutis. Denique gynaeconitidem claudit 10
custodiaque adhibita a nemine reginam adiri patitur, nisi satel-
litum praefecto exposuisset, unde et quid veniret. Nam et suopte
exemplo terrebatur et fratris Ioannis spadonis impulsu potissimum 11
id facere putabatur. Qui spado erat homo acutus et acer, ob- 12
scuro ingenio, varius adversus eos, quibuscum agebat, promptus,
mole curarum tam indefessus, ut neque inter epulas neque inter
potandum (vino enim erat deditus) quicquam de reipublicae
gerendae studio remitteret. Ac reginae hic status fuit; Michaël 13
vero communium rerum cura suscepta, cum morbus eius in- 14
gravesceret, quem alii vindictam numinis periurio infensi inter-

D 15 νίαν τε καὶ παραφοράν· ὁ δ' ἐκτομίας Ἰωάννης τὴν ὅλην ἀν-
εδέξατο τῆς βασιλείας κυβέρνησιν, μοναχικὸν μὲν πάλαι σχῆμα
16 ἐπενδυθείς, τοῦτο δὲ τηρῶν ἄχρι μόνου τοῦ σχήματος. Κων-
σταντῖνος δὲ πατρίκιος ὁ Δαλασσηνός, οἴκοι διατρίβων καὶ περὶ
τοῦ νέου βασιλέως πυθόμενος, δυσανασχετῶν ἦν ὅτι εἰς ἄνδρα
17 τοιοῦτον ἡ βασιλεία περιέστη Ῥωμαίων. τοῦτο θορύβου τοὺς
περὶ τὸν βασιλέα ἐμέστωσε, πτοηθέντας μήποτε ὁ Δαλασσηνὸς
18 τυραννίδι ἐπίθηται. καὶ στέλλει ὁ Ἰωάννης τὸν ὅρκοις αὐτὸν
βεβαιώσοντα ὡς οὐδενὸς ἀνιαροῦ πειραθήσεται καὶ πείσοντα
P II 236 A 19 τὸν ἄνδρα τῷ βασιλεῖ προσελθεῖν. καὶ ὁ μὲν προσῆλθε, καὶ
ὁ βασιλεὺς αὐτὸν ἀσπασίως προσήκατο καὶ ἐδεξιώσατο δωρεαῖς
καὶ μείζονι ἀξίᾳ τετίμηκε καὶ ἐν τῇ πόλει διάγειν ἐκέλευσε.

20 Νικήτας δὲ ὁ τοῦ βασιλέως ὁμαίμων, δοὺξ τῆς ἐπὶ τῇ
Δάφνῃ Ἀντιοχείας προχειρισθείς, εἴρχθη παρὰ τῶν Ἀντιοχέων
21 τῆς εἰς τὴν πόλιν εἰσόδου. πράκτορα γάρ τινα τῶν δημοσίων
τελῶν, ὡς αὐτοῖς φορτικῶς προσενηνεγμένον, ἀνελόντες οἱ τῆς
Ἀντιοχείας πολῖται καὶ δεδοικότες μὴ δίκας τῷ δουκὶ τοῦ τολμή-
22 ματος τίσωσιν, ἐπεζύγωσαν αὐτῷ τὰς πύλας τῆς πόλεως. ὁ δὲ

3 *περὶ τοῦ Δαλασσηνοῦ καὶ διὰ τίνα αἰτίαν καθείρχθη* CE

2. 3 *πάλαι σχῆμα ἐπενδυθεὶς* AD Psell. p. 54, 28, *ἔνδυμα πάλαι ἀμφιασάμενος* Rwp 5 *δυςανασχετὼν* B^swp 6 *περιέστη* ante *ἡ* C 6. 7 *θορύβου* post *βασιλέα* BC 8 *ἐπίθηται* Rwp*Di*, *ἐπιτίθηται* A *ὅρκον* et *ὅρκοις* per dittogr. D 9 *βεβαιώσαντα* Ewp 12 *ἀξιώματι ἐτίμησε* Ewp 13 *τῇ* om. DEwp 14 *εἴρχθη* BE 17 *ἀντιόχου* D *πολῖται* O^swp*Di*, *πολίται* AE 18 *τίσωσιν* ADE, *τίσουσιν* R, *σίτω¦σιν* w*, *δίδωσιν* p*

pretabantur, quo non secus atque olim Saul angebatur, alii amen-
15 tiam et insaniam, ad Ioannem spadonem summa rerum delata
est, cum ille quidem monachi vestem iam olim sumpsisset, sed
16 habitu dumtaxat illud vitae genus profiteretur. Enimvero Con-
stantinus Dalassenus patricius, domi degens, cum de novo rege
audivisset, indignabatur Romanorum regnum ad talem hominem
17 esse devolutum. Quare Michaël cum suis vehementer perturbatus
18 verebatur, ne Dalassenus regnum affectaret. Itaque Ioannes
quendam mittit, qui iureiurando affirmaret nihil ei metuendum
19 esse mali viroque persuaderet, ut regem conveniret. Qui cum
venisset, a rege benigne susceptus ac muneribus et maiore
dignitate auctus in urbe degere iussus est.

20 Nicetas vero, regis frater, dux Daphnensis Antiochiae desi-
21 gnatus non est in urbem ab Antiochenis admissus. Nam publi-
corum vectigalium exactore, a quo se durius tractatos putabant,
interfecto, Antiochenses veriti, ne eius facinoris poenas darent,
22 urbis portas duci clauserant; nec prius admisere, quam iureiu-

ὅρκοις αὐτοῖς παρασχόμενος πίστεις ὡς οὐδὲν διὰ τὸν φόνον
ὑποσταῖεν κακόν, παραχωρεῖται τὴν εἴσοδον· εἶτα τοὺς ὅρκους 23
οὐδὲν λογισάμενος πολλοὺς μὲν ἀποκτίννυσιν, ἐνίους δὲ τῶν B
παρ' αὐτοῖς ἐπισήμων δεσμίους ἔστειλε πρὸς τὴν μεγαλόπολιν,
γράψας τῷ ἀδελφῷ Ἰωάννῃ διὰ τὴν πρὸς τὸν Δαλασσηνὸν
εὔνοιαν ἀπεῖρξαι αὐτῷ τὴν εἴσοδον τοὺς Ἀντιοχεῖς. ἐντεῦθεν 24
ὁ Δαλασσηνὸς εἰς τὴν νῆσον τὴν Πλάτην περιορίζεται, καὶ ὁ
IV 139 ἐπὶ θυγατρὶ κηδεστὴς αὐτοῦ Κωνσταντῖνος ὁ Δοῦκας, τὴν ἀδι-
κίαν ἐπιβοώμενος καὶ τὴν ἐπιορκίαν οὐ σιωπῶν, πύργῳ τινὶ
κατακλείεται. εἶτα μετάγεται ὁ Δαλασσηνὸς ἐκ τῆς Πλάτης καὶ 25
πύργῳ καθείργνυται. ἑάλω δὲ τότε τοῖς μὲν ἐκ τῆς Ἄγαρ τὰ 26
Μύρα καὶ τοῖς Πατζινάκαις λεία γέγονε τὰ Μυσῶν. τοῦ δὲ 27
δουκὸς Ἀντιοχείας Νικήτα καταστρέψαντος τὴν ζωήν, ὁ Κων- C
σταντῖνος, ἀδελφὸς ὢν καὶ οὗτος τοῦ βασιλέως, ἐπὶ τῇ Ἀντιο-
χείᾳ τὸν τελευτήσαντα διεδέξατο, καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς
πρωτοβεστιάριος προκεχείριστο. ἐξ Ἀφρικῆς μέντοι καὶ Σι- 28
κελίας στόλος ἀποπλέων Ἀγαρηνῶν ἐκάκου τάς τε νήσους καὶ
τὰ παράλια· ἀλλὰ τούτοις στόλος ἐπιπλέων Ῥωμαϊκὸς πολλὰ
μὲν τῶν σκαφῶν κατέδυσεν αὔτανδρα, πολλοὺς δ' ἐζώγρησε,
καὶ τοὺς μὲν πρὸς τὸν βασιλέα ἐκπέπομφεν, οἱ δὲ ἀνεσκολο-

16 περὶ τοῦ ἐξ Ἀφρικῆς στόλου C

1 ὀρκοις E*Di*, ὄρκοις AD, ἐνόρκους Rwp 2 τῆς εἰςόδου BCEwp 6 ὑπῆρξαι D 7 τὴν ante πλάτην om. CD 8 δούκας CEwp*Di*, v. ad XVIII 7, 4. 7. 8, 1. 14 10 πλατείας C 12 λεία—Μυσῶν] v. ad p. 600, 8 τὰ AR, τῶν Bwp, cui addit asteriscum *Wo* 13 κατετρέψαντος D 17. 18 Ἀγαρηνῶν—στόλος om. E 18 ἐπιπλέων R[s]wp*Di*, ἐπὶ πλέων D, ἐπὶ πλέον A

rando confirmaret caedem illam iis exitio non esse futuram.
Verum eo iureiurando nihil deterritus multos occidit et quibus- 23
dam insignibus civibus vinctis in magnam urbem missis, fratri
Ioanni scripsit se ab Antiochenis ob benevolentiam eorum erga
Dalassenum exclusum fuisse. Hinc Dalassenus in insulam Platen 24
relegatur et Constantinus Ducas, eius gener, et de iniuria quae-
ritans neque dissimulans periurium in turrim quandam includitur.
Post Dalassenus quoque e Plate translatus in turrim compingitur. 25
Sub idem tempus Agareni Myra ceperunt; Patzinacae Mysorum, ut 26
aiunt, fecerunt praedam. Antiocheno duce Niceta mortuo, Constan- 27
tinus, et ipse regis frater, successit, altero eius fratre protove-
stiario designato. Cum autem Agareni Africani et Sicilienses insu- 28
las et oram maritimam infestarent, Romana classis multas eorum
naves cum viris demersit, multos vivos cepit, quorum alii ad

29 πίσθησαν κατὰ τὴν παράλιον. Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασ-
γίας, ᾧ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς ἡρμόσατο Ῥωμανός,
τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυσε καὶ ὧν παρεχώρησε
D πρὶν Ῥωμαίοις φρουρίων καὶ πόλεων ἐπελάβετο πάλιν, ὡς τάχα
δίκας Ῥωμαίους πραττόμενος ὑπὲρ τοῦ βασιλέως καὶ θείου
30 τῆς αὐτοῦ ὁμευνέτιδος. πολλάκις δ' οἱ Πατζινάκαι τὸν Ἴστρον
διαβαίνοντες τὰ Ῥωμαίων κακῶς διετίθεντο, τοὺς ἁλισκομένους
31 ἡβηδὸν ἀναιροῦντες. καὶ Ἄραβες τὴν Ἔδεσαν ἐπολιόρκησαν,
καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ ὁ δοὺξ Ἀντιοχείας ὁ Κωνσταντῖνος
ὁ τοῦ αὐτοκράτορος ἀδελφὸς αὐτῇ ἐπεκούρησεν, ὃν ὁ βασιλεὺς
τῆς σπουδῆς ἀμειβόμενος τῶν ἑῴων ταγμάτων δομέστικον
προεβάλετο.
15 Τοῦ δὲ τῆς Αἰγύπτου κρατοῦντος Ἀμερ θανόντος ἡ ἐκείνου
γυνή, χριστιανὴ οὖσα, σπείσασθαι σὺν τῷ υἱῷ μετὰ Ῥωμαίων
P II 237 A ἐζήτησε· καὶ ὁ βασιλεὺς ἐκύρωσε μετ' αὐτῆς τριακοντούτεις D IV 14
2 σπονδάς. ἀδελφοὶ δὲ δύο Σαρακηνοὶ τῆς Σικελίας κρατοῦντες
πρὸς ἀλλήλους ἔσχον διαφοράς, ὧν θάτερος τῷ βασιλεῖ Ῥω-

1 περὶ Παγκρατίου τοῦ ἄρχοντος Ἀβασγίας CE 6 περὶ Σκυθῶν CE 8 περὶ Ἀράβων E 12 ὅτι μετὰ τῶν Αἰγυπτίων οἱ Ῥωμαῖοι (μετὰ ῥωμαίων οἱ αἰγύπτιοι E) ἐσπείσαντο CE

3 σπονδὰς RwpDi, σποδὰς A 5 ῥωμαίους RwpDi, ῥωμαίοις A 6 αὐτῷ p* invitis ARw ante τὸν add. καὶ Bwp 8 ἡβηδὸν RwpDi Cedr. (Scylitz.) II p. 515, 1, ἡβαδὸν A ἀποσφάττοντες BC ἔδεσσαν DDi 9 ὁ ante κωνστ. om. Rwp 12 προεβάλετο BDi, προεβάλλετο ARwp, v. ad XIV 11, 5 14 σπείσασθαι RwpDi, σπείσασα A 15 αὐτῆς AWo lat. Cedr. (Scylitz.) II p. 515, 13, αὐτῶν Rwp 17 θάτερος] ἅτερος D, Ar in marg.: οὐ γράφεται τὸ θα^τερ ἀλλὰ ἅτερος, v. XVIII 24, 25 et Steph. thes. IV p. 256 B et praefationem nostram

29 regem missi sunt, alii in litore trabibus affixi. Pancratius vero,
Abasgiae princeps, cui rex Romanus suam neptem desponderat,
foedere Romano soluto, quibus castellis et urbibus olim Romanis
cesserat, ea rursus sibi vindicabat, fortasse ut Romanorum iniu-
30 riam regi, suae coniugis patruo, factam ulcisceretur. Patzinacae Istro
saepe traiecto provincias male tractabant, captivis omnibus inter-
31 fectis. Arabes Edesam obsederunt eamque expugnassent, nisi
Antiochiae dux Constantinus, imperatoris frater, opem tulisset,
cuius industriam sic remuneratus est rex, ut eum orientalium
legionum domesticum crearet.
15. Ameris, Aegypti principis, mortui vidua, quae erat Chri-
stiana, una cum filio pacem cum Romanis facere studuit; quare
2 rex indutias triginta annorum cum ea pepigit. Cum duo fratres

μαίων προσπέφευγε, συμμαχίαν αἰτῶν. στέλλεται τοίνυν ὁ πατρί- 3 W III 189
κιος Γεώργιος ὁ Μανιάκης ἐπικουρήσων αὐτῷ, Λογγιβαρδίας προ-
χειρισθεὶς στρατηγός. μήπω δὲ τὴν Σικελίαν καταλαβόντος τοῦ 4
Μανιάκη, οἱ ταύτης ἄρχοντες σύγγονοι πρὸς ἀλλήλους ἐσπεί-
σαντο καὶ καταλαβόντα τὸν Μανιάκην ἀπελάσαι τῆς νήσου διε-
μελέτων καὶ συμμαχίαν ἐξ Ἀφρικῆς μετεπέμψαντο. συρρα- 5
γέντος δὲ πολέμου τὸ Ῥωμαϊκὸν ἐκράτησε στράτευμα, καὶ φόνου
πολλοῦ τῶν Καρχηδονίων γεγονότος πόλεις μὲν πρότερον ἐξε-
πόρθησαν δέκα ἐπὶ τρισίν· εἶτα κατὰ μικρὸν προβαίνων ὁ Μα- 6 B
νιάκης καὶ πᾶσαν τὴν Σικελίαν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσ-
ήγαγε.

Μικροῦ δ' ἂν ἑάλω ἡ Ἔδεσα, δόλῳ ταύτην τῶν Ἀράβων 7
μελετησάντων χειρώσασθαι. δώδεκα γὰρ αὐτῶν ἄρχοντες ἐπ- 8
αγόμενοι καμήλους πεντακοσίας, ὧν ἑκάστη κιβώτια δύο ἐπή-
χθιστο, ἧκον εἰς Ἔδεσαν· ἕκαστον δὲ τῶν κιβωτίων ὁπλίτην
εἶχεν ἐντός· ἔλεγον δὲ ἀπιέναι πρὸς βασιλέα δῶρα κομίζοντες, 9
καὶ ἐβούλοντο, εἰ παραχωρηθεῖεν ἔνδον εἰσαγαγεῖν τὰ κιβώτια,
νυκτὸς τοὺς ἐν αὐτοῖς ὁπλίτας ἐξαγαγεῖν καὶ τὴν πόλιν ἑλεῖν.

1 *ὅτι ὁ Μανιάκης τὴν Σικελίαν ὑπὸ Σαρακηνῶν κατεχομένην Ῥωμαίοις ὑπέταξεν* CE 12 *ὅπως ὑπὸ Ἀράβων* (*ἀρράβων* E) *ἐπεβουλεύθη ἡ Ἔδεσα* CE *καὶ ὅπως ἐγνώσθη τὰ τῆς ἐπιβουλῆς* C

4 *ἡγεμονεύοντες* BCwp 4. 5 *σύγγονοι—ἀπελάσαι* om. E 5 *καταλαθόντα* w errore, quem corr. p 6 *μετεπεπέμψαντο* w*p 8 *ἐξεπόρθησε* Rwp 9. 10 *κατὰ μικρὸν—ῥωμαίων* om. E 12 *ἔδεσσα* AB*Di* post *δόλῳ* distinguit D *ταύτῃ* D, *αὐτὴν* Ewp 14 *ἑκάστῃ* B^{s}(?)wp *ἐπήχθιστο* R*Di*, *ἐπήχθηστο* AD, *ἐπήχθετο* Ewp 15 *ἔδεσαν* ARwp, *Ἔδεσσαν Di* *ὁπλίτην*] cf. cod. Coisl. Cedr. (Scylitz.) II p. 520, 14 16 post *πρὸς* add. *τὸν* D

Agareni Siciliae imperantes inter se dissiderent eorumque alter
Romanorum regis opem implorasset, patricius Georgius Maniaces 3
auxilio illi missus est, Longobardiae praetor designatus. Qui 4
Maniaces antequam in Siciliam veniret, fratres illi inter se recon-
ciliati et Maniacem advenientem aditu insulae prohibere conati
auxilia ex Africa evocarunt. Sed pugna commissa, Romanus vicit 5
exercitus magnaque caede Carthaginiensium edita, tredecim urbes
principio vastatae sunt; deinde paullatim progrediens Maniaces 6
etiam totam Siciliam Romano imperio restituit.

Neque vero multum afuit, quin Edesa ab Arabibus dolo 7
caperetur. Nam duodecim eorum principes quingentos camelos 8
Edesam adduxere, binas cistas gestantes, quae singulos armatos
claudebant, simulantes se regi munera oblaturos esse, sed si 9
intromissi essent, in animo habebant noctu eductis armatis urbem

10 εἰσελθόντας οὖν πρὸς τὸν τῆς πόλεως στρατηγὸν τοὺς ἄρχοντας
C φιλοτίμως ἐκεῖνος ἐδέξατο. οἱ δ' ἐκείνοις ὑπηρετοῦντες μετὰ
11 τῶν καμήλων ἔτι τῆς πόλεως ἦσαν ἔξω. προσαίτης δέ τις
Ἀρμένιος, εἰδὼς καὶ τὴν Ἀράβων διάλεκτον, προσῆλθε τοῖς
12 ἐκτὸς αὐλιζομένοις Ἄραψι μεταιτήσων. ἤκουσεν οὖν ἐκ κιβω-
τίων τινὸς ὅποι εἰσὶν ἐρωτῶντος, καὶ εἰς τὴν πόλιν ἐλθὼν
13 ἀπήγγειλε τὸ δρᾶμα τῷ στρατηγῷ. ὁ δὲ τοὺς μὲν ἄρχοντας D IV 14
τῶν Ἀράβων εὐωχουμένους ἐν τῇ πόλει κατέλιπεν, αὐτὸς δὲ
μετὰ τῶν περὶ αὐτὸν ἐξελθὼν καὶ τὰ κιβώτια διαρρήξας τοὺς
14 ἐν αὐτοῖς ὁπλίτας ἀπέκτεινεν ἅπαντας· καὶ εἰς τὴν πόλιν αὖθις
ὑπονοστήσας τοὺς μὲν λοιποὺς τῶν ἀρχόντων αὐτῶν μαχαίρας
ἔθετο ἔργον, ἑνὸς δὲ τὰς χεῖρας ἀποτεμὼν τὰ ὦτά τε καὶ τὴν
D ῥῖνα ἀφῆκεν, ἵνα τοῖς οἴκοι τὴν συμφορὰν καταγγείλειεν.
15 Ὁ δὲ Καρχηδόνιος τὸν ὄλεθρον τῶν ὑπ' αὐτοῦ πεμ-
φθέντων εἰς Σικελίαν μαθών, καὶ αὐτὸς εἰς τὴν νῆσον ἐστρά-
16 τευσε μετὰ δυνάμεως πλείονος. καὶ ὁ Μανιάκης ἀντιστρατο-

14 ὅτι ὁ Καρχηδόνιος κρατῶν κατὰ τῆς Σικελίας ἐπῆλθε· καὶ ὅπως ἡττήθη παρὰ τοῦ Μανιάκη καὶ ἔφυγε· καὶ ὅπως ὁ Μανιάκης δέσμιος ἐκεῖθεν ἀχθεὶς καθείρχθη C

1 ἄρχοντα D 1. 2 τοὺς ἄρχοντας omissis post φιλοτίμως add. αὐτοὺς D 2 ἐξένισεν BC 4. 8 ἀρράβων E (sed vs. 5 ἄραψι E) 5 μ[τ]ιτήσων E ἤκουσε δὲ Bwp κιβωτίου RwpDi 6 ἐρωτ. ὅπη (ὅποι O) εἰσὶ Rwp 7 δρᾶμα A[s]Di, δράμα Rwp, v. ad XVIII 23, 12 12 13 τὰ ὦτά τε καὶ τὴν ῥῖνα (ῥίνα AE) ADEwpDi, καὶ τὴν ῥῖνα σὺν τοῖς ὠσὶ λωβησάμενος R 13 post οἴκοι add. τὸ σῶμα Ewp καταγγέλλοιεν Ewp, ἀπαγγείλειεν C 15 καὶ om. Rwp 16 μετὰ βαρείας δυνάμεως B

10 capere. Praetor urbis principes ad se ingressos honorifice ex-
cepit, eorum ministris cum camelis usque ad id temporis extra
11 urbem relictis. Sed cum quidam Armenius mendicus Arabicae
quoque linguae peritus apud Arabes foris deversantes mendicaret,
12 audivit quendam ex una de cistis percontantem, ubi essent, et
13 urbem ingressus commentum aperuit praetori. Is Arabum prin-
cipes in urbe convivantes reliquit et cum suis ipse egressus,
14 apertis cistis, armatos omnes interfecit; tum in urbem regressus
duces, qui reliqui erant, gladio confecit, uno dimisso, manibus
et auribus et naribus truncatis, qui cladem illam domum nun-
tiaret.
15 At Carthaginiensis, copiarum in Siciliam missarum interitu
cognito, et ipse cum maiore exercitu in Siciliam proficiscitur.
16 Maniaces, castris contra Agarenos positis, classis praefecto patricio

πεδεύεται τοῖς Ἀγαρηνοῖς καὶ τῷ τοῦ στόλου κατάρχοντι τῷ
πατρικίῳ Στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ (συνέσταλτο γὰρ
καὶ οὗτος αὐτῷ μετὰ τοῦ στόλου) ἀσφαλῶς τηρεῖν ἐνετείλατο
τὴν παράλιον, ἵνα μὴ ἡττηθεὶς ὁ Καρχηδόνιος ἀποδρᾶναι δυνή-
σεται. μάχης τοίνυν συστάσης, πλῆθος μὲν τῶν Ἄφρων ἀν- 17
ήρητο σχεδόν τι κρεῖττον καὶ ἀριθμοῦ, ὁ δ' αὐτῶν ἀρχηγός,
διαδρὰς ἐκ τῆς μάχης καὶ κελητίῳ ἐμβεβηκὼς λαθών τε τοὺς
ἐν τῷ στόλῳ, οἴκαδε διασέσωστο. τοῦτο τῷ Μανιάκῃ συμφορᾶς 18
ἥγητο μέρει, καὶ τῷ τοῦ στόλου ἄρχοντι ἐλοιδορεῖτο. τοῦ δὲ 19
τῇ συγγενείᾳ τῇ βασιλικῇ πεποιθότος καὶ δυσχεράναντος πρὸς P II 238 A
τὰς ὕβρεις, θυμῷ ληφθεὶς ὁ Μανιάκης καὶ πληγὰς ἐντείνει
αὐτῷ. ὁ δὲ αὐτίκα γράφει τῷ ἀδελφῷ Ἰωάννῃ τῷ ἐκτομίᾳ, 20
ὀρφανοτρόφῳ ὀνομασθέντι, ἀποστασίᾳ ἐπιχειρεῖν τὸν Μανιάκην.
ἐντεῦθεν ὁ μὲν Μανιάκης δέσμιος ἐκεῖθεν ἀχθεὶς φυλακῇ παρ- 21
εδόθη, ἡ πᾶσα δὲ ἀρχὴ ὑπὸ τὸν Στέφανον γέγονε. καὶ ἡ 22

15 ὅτι ἡ Σικελία αὖθις ἐλήφθη ὑπὸ τῶν Ἀγαρηνῶν ἄνευ μιᾶς πόλεως τῆς Μεσήνης C

1. 2 τῷ ante πατρ. om. D 3 καὶ om. DE αὐτῷ initio versus om. A, add. Rwp*Di* 4 ante ὁ add. ἴσως BEwp ἀποδρᾶναι E*Di*, ἀποδράναι AOwp δυνήσεται ARwp*Di* (similiter indicativus futuri post ἵνα est revocandus I p. 327, 7. 437, 12. II p. 142, 7. 179, 20. 216, 22 cet.), δυνήσαιτο BC 6 δὲ w*p invitis AR 8 ante συμφορᾶς add. ἐν Rwp*Di*, sed sicut Zonaras καταλέγειν et ἀριθμεῖν solet coniungere cum dativo nulla adiecta praepositione (v. *Di* vol. V p. XXIV ad p. 228, 22), ita idem ἡγεῖσθαι sensu passivo conectit cum μέρει 10 συγγενία E 11 post ὕβρεις add. καί τι καὶ (om. Bwp) ἀνθυπενεγκόντος BCwp post ληφθεὶς add. καὶ C 12 ἀδελφῷ AR codices *Duc* (v. praef.), γυναικαδελφῷ B, γυναικῇ ἀδελφῷ w*, γυναικαδέλφῳ p; videtur Zonaras fonti (Cedr. (Scylitz.) II p. 523, 4) illud ἀδελφῷ haud bene addidisse 13 ἀποστασίαν E τὸν μαν. ἐπιχειρεῖν BC 14 post ἐντεῦθεν distinguunt CD μὲν om. C ἐκεῖθεν ἀχθεὶς AR, ἀναχθεὶς ἐκεῖθεν BC, ἐκεῖθεν ἀναχθεὶς w*p 15 σύμπασα BCwp δ' BCwp τῷ στεφάνῳ περιελήλυθε (BC)wp

Stephano, regis affini (nam is quoque una cum classe missus
erat) mandat, ut oram maritimam diligenter tueatur, ne Cartha-
giniensis victus effugere queat. Proelio igitur commisso, tanta 17
multitudo Afrorum periit, ut nullo prope numero comprehendi
possit; sed eorum princeps pugna elapsus, conscensa celoce,
deceptis classiariis, domum rediit. Id Maniaces aegerrime ferens 18
classis praefecto conviciatur. Is vero regia affinitate fretus cum 19
iniquo animo contumelias accepisset, a Maniace ira percito verbe-
ratus statim litteris scriptis ad spadonem Ioannem fratrem, qui 20
orphanotrophus dictus est, Maniacem calumniatur ut defectionem
molientem. Qua ille de causa vinctus in urbem ductus custodiae 21
mandatur, omni auctoritate in Stephanum translata; neque multo 22

νῆσος οὐκ εἰς μακρὰν περιελήλυθε τοῖς Ἀγαρηνοῖς ἀπειρίᾳ καὶ
ῥᾳθυμίᾳ τοῦ ἄρχοντος καὶ πρὸ τούτων αἰσχροκερδείᾳ, μόνης
τῆς Μεσήνης (πόλις δὲ αὕτη τῶν Σικελικῶν) περιλειφθείσης D IV
23 Ῥωμαίοις, καὶ ταύτης τοῦ ἐν αὐτῇ ἄρχοντος στρατηγίᾳ· οὗτος
B δ' ἦν ὁ Κεκαυμένος Καταχαλών· οὐ γὰρ τὴν πόλιν μόνον
περιεφύλαξεν, ἀλλὰ καὶ χιλιάδας ἀνεῖλε τῶν ἐναντίων.

24 Ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς ὁ ἐκτομίας Ἰωάννης δριμύτατον
τρέφων ἔρωτα τοῦ προστῆναι τῆς ἐκκλησίας ἐνίους τῶν
25 ἀρχιερέων προσηταιρίσατο· καὶ οἳ αὐτῷ ἐπηγγέλλοντο καθαιρῆσαι
τὸν πατριάρχην Ἀλέξιον, ὡς οὐ ψήφῳ κοινῇ προχειρι-
W III 190 26 σθέντα, ἀλλ' ἐξουσίᾳ βασιλικῇ. ὁ δὲ "εἰ οὐ κανονικῶς, ὥς
φατέ, γέγονα πατριάρχης" ἀντέθετο, "καὶ ὅσοι παρ' ἐμοῦ ἐχει-
27 ροτονήθησαν, καθαιρεθήτωσαν σὺν ἐμοί." τοῦτο τοὺς λοιποὺς
τῶν ἀρχιερέων στασιάσαι κατὰ τῶν τοῦ πατριάρχου κατηγορούντων
ἠρέθισε, καὶ ἔμεινεν ἀτέλεστος ἡ τοῦ ὀρφανοτρόφου
28 ἔφεσις. πολλαῖς δὲ καὶ ἀσυνήθεσιν εἰσπράξεσιν οὗτος ἐξέτρυχε
C 29 τὸ ὑπήκοον, πορισμώτατος ἐν τοιούτοις γενόμενος. τῆς γοῦν

7 ὅτι ἐφίετο τοῦ πατριαρχείου ὁ ὀρφανοτρόφος CE 16 ὅπως πρὸς τὸ ὑπήκοον διέκειτο ὁ ὀρφανοτρόφος καὶ ἡ ἀδελφὴ (οἱ ἀδελφοὶ E) αὐτοῦ CE

1 περιελ. τ. Ἀγ.] ὑπὸ τοὺς ἀγαρηνοὺς καὶ αὖθις ἐγένετο BCwp ἀπορίᾳ B 2 αἰσχροκερδείαι E, unde αἰσχροκερδείαις w*p invitis AO 3 μεσήνης AR Cedr. (Scylitz.) II p. 523, 20. 524, 4 arg. ad § 22 (cf. Georg. Cypr. 73 Gelzer), Μεσένης w*p, Μεσσήνης *Di* περιλειφθείσης Rwp*Di*, περιληφθείσης A 4 στρατηγοῦντος ἀνδραγαθίᾳ (BC)wp 5 μόνην CD 7 αὐτοκράτορος BC 9 καὶ om. Rwp ἐπηγγέλοντο Ewp 11. 12 ὡς φατὲ ARwp, ὥς φατε *Di* 14 τῶν Rwp*Di*, om. A κατηγόρων D 15. 16 ἡ ante ἔφεσις Rwp 16 συνήθεσιν E 17 τούτοις D οὖν DEwp

post insula in Agarenorum potestatem rediit cum imperitia ac
socordia, tum sordibus ducis, sola Messana (quae et ipsa Siciliae
23 urbs est) virtute Catacalonis Cecaumeni praefecti Romanis conservata,
qui idem praeterea multa hostium milia cecidit.
24 At regis frater, spado Ioannes, pontificatus cupiditate fla-
25 grans quosdam ex primariis sacerdotibus sibi conciliavit, qui ei
pollicebantur se loco moturos Alexium patriarcham, quippe qui
non communibus suffragiis, sed regia auctoritate creatus esset.
26 Ille vero "Si" inquit "contra canones me patriarcham esse factum
asseretis, ii etiam, qui a me electi sunt, loco mecum moventor."
27 Quod responsum effecit, ut ceteri sacerdotes a patriarchae accusatoribus
dissiderent et orphanotrophus impos voti redderetur.
28 Qui ad quaestus excogitandos callidissimus, cum subiectos multis
29 insolitis exactionibus vexaret, accidit, ut soror eius Maria, Mi-

ἀδελφῆς αὐτοῦ Μαρίας, ἡ μήτηρ ἦν τοῦ ὕστερον βασιλεύσαντος
Μιχαὴλ τοῦ Καλαφάτου, δι' εὐχὴν εἰς Ἔφεσον ἀπελθούσης
κἀκεῖθεν ἐπανελθούσης καὶ διηγουμένης ὅσα πάσχοιεν οἱ πέ-
νητες τὰς καινὰς δασμοφορίας πραττόμενοι, καὶ ἀξιούσης ἀν-
εθῆναι τοῖς ὑπηκόοις τὸ τοῦ ἄχθους πολύ, ὁ ὀρφανοτρόφος 30
ἐπικαγχάσας "ὡς γυνὴ φρονεῖς" ἀνταπεκρίθη αὐτῇ "μὴ εἰδυῖα
ὅσων ἡ πολιτεία δεῖται ἀναλωμάτων." οὗτος ἐπιβουλευθῆναι 31
λέγεται παρὰ τῆς βασιλίσσης Ζωῆς. φαρμακεῦσαι γὰρ αὐτὸν 32
καθαρσίῳ τοῦ ἰατροῦ μέλλοντος, ἀναπεῖσαι τὸν φαρμακεύοντα
δώροις καὶ ὑποσχέσεσι διά τινων τὴν βασίλισσαν ἀντὶ σωτηρίου D
προσενεγκεῖν αὐτῷ δηλητήριον· γνωσθέντος δὲ τοῦ ἐπιχειρή-
D IV 143 ματος διαδρᾶναι τὸν κίνδυνον. ἀλλ' οὕτω μὲν παρὰ τοῦ ὀρφα- 33
νοτρόφου Ἰωάννου τὰ κοινὰ ᾠκονόμητο· οὐ μεῖον δ' ἐκείνου
οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλὰ μέντοι καὶ μᾶλλον ἐκάκουν ξύμπαντας,
ἀδικώτατοι ὄντες καὶ φιλοχρηματώτατοι· οἷς διὰ ταῦτα καὶ ὁ 34
βασιλεὺς ἀπηχθάνετο, ἀναστεῖλαι δὲ τὴν κακίαν αὐτοῖς οὐ συν-
εχωρεῖτο παρὰ τοῦ μείζονος ἀδελφοῦ τοῦ ἐκτομίου Ἰωάννου,
ποτὲ μὲν παραιτουμένου αὐτούς, ποτὲ δὲ τὰς αὐτῶν πράξεις
περικαλύπτοντος καὶ οὐκ ἐῶντος εἰς γνῶσιν ἥκειν τῷ αὐτο-
κράτορι.

7 ὅτι ἐπεβουλεύθη παρὰ τῆς βασιλίδος Ζωῆς (om. E) ὁ ὀρφανοτρόφος CE

5 τὴν τ. ἄχθους βαρύτητα BC 7 βασιλεία BCwp 8 γὰρ om. B
11 προσήνεγκεν C, corr. Cw 12 διαδρᾶναι EwpDi, διαδράναι AO
13 ἰωάννου om. D δὲ D 14 ἡ ἀδελφὴ D ἐκάκου D
15 καὶ ante ὁ om. D 16 συγκεχώρητο BC

chaëlis Calaphatae, qui post regnavit, mater, votis exsolutis Epheso
reversa narraret, quam misere subiecti novis illis exactionibus
tractarentur ac peteret, ut onere illo subiecti liberarentur. Cui 30
cum cachinno respondit orphanotrophus eam sentire ut mulierem,
quae ignoraret, quantam pecuniam respublica postulet. Zoë vero 31
regina illi insidiata esse fertur; medico enim potionem purgantem 32
ei propinaturo muneribus et pollicitationibus per quosdam per-
suasit, ut toxicum pro salutari medicina ei offerret; sed ille anim-
adversis insidiis periculum evitavit. Cum autem respublica sic 33
ab Ioanne orphanotropho administraretur, fratres eius non minus
exagitabant omnes, homines iniustissimi et avarissimi; quos cum 34
etiam rex ea de causa odisset, tamen maior frater, spado Ioannes,
eorum nequitiam coërceri non patiebatur, alias excusando, alias
tegendo eorum facinora, ne ad imperatoris cognitionem perve-
nirent.

P II 239 A 16 Ἤδη δὲ τῆς νόσου νεανιευομένης τῷ βασιλεῖ καὶ θαμὰ
τῆς τοῦ λογιζομένου παραφορᾶς αὐτῷ ἐπιούσης, οὔτε προόδοις
ἐκέχρητο συνεχῶς οὔτε βασιλείοις πομπαῖς οὔτ' ἐν βήμασιν
ἐχρημάτιζε τῷ βασιλείῳ θρόνῳ ἄνετος ἐφεζόμενος, ἀλλὰ παρα-
πετάσματα περὶ αὐτὸν ἀπῃώρηντο, καί τινες ἐπιτηρεῖν τετα-
2 γμένοι αὐτὸν περιίσταντο, οἳ ὁπηνίκα τι σημεῖον εἶδον τῆς τοῦ
νοῦ παρατροπῆς (πολλὰ δὲ ταύτην αὐτῷ προεμήνυον), εἷλκον
ἐπ' ἐκεῖνον εὐθὺς τὰ παραπετάσματα καὶ τούτοις τὸν πάσχοντα
3 συγκαλύπτοντες ἐξιέναι τοῖς παρεστῶσιν ἐνεκελεύοντο. τῷ δὲ
4 ἀθρόον τε τὸ πάθος ἐπήει καὶ ἀθρόον ἀφίστατο. οὕτως οὖν
B ἔχων ὁ Μιχαὴλ κατὰ βραχὺ καὶ τοῦ ὁρᾶν τὴν βασίλισσαν καὶ
τοῦ προσιέναι ἀπείχετο, ἢ αἰδούμενος ὅτι οἷα ἀνθ' οἵων αὐτῇ
ἀνταπέδωκεν, ἢ ὅτι θαμὰ καὶ ἑτοιμότατα τοῦ πάθους αὐτῷ ἐπι-
γινομένου ᾐσχύνετο πάσχων οὕτω παρ' ἐκείνης ὁρᾶσθαι, ἢ
διὰ τὸ τὴν ἕξιν τοῦ σώματος διεφθάρθαι οἱ καὶ πρὸς μίξιν
5 μὴ πεφυκέναι. ἔνιοι δέ φασιν ὡς ἀνδράσι πνευματικοῖς ἐξ-
ομολογησάμενος τὸ τῆς μοιχείας καὶ τοῦ φόνου τοῦ βασιλέως

1 *ὅτι ἡ νόσος τῆς παραφορᾶς κατεκράτησε σφόδρα τοῦ βασιλέως* CE
10 *ὅπως* (*οἷος* E) *ἔσχε* (om. E) *περὶ τὴν βασίλισσαν ὁ βασιλεὺς Μιχαήλ* CE (sed E hoc argumentum perperam ponit post argumentum sequens)

1 *νεανευομένης* D 3 *βήμασι* B, *βήματι* C 4 *ἐχρημάτιζεν* post *ἐφεζόμενος* BC *παρὰ πετάσματα* E 5 *αὐτὸν* RwpDi, *αὐτῶν* A *ἀπῃώρητο* C 7 *παραπομπῆς* D *εἶχον* E 10 *τὸ πάθος ἀθρόον τε* D *ἐποίει* B 12 *προιέναι* D *οἷα* et *οἷα* per dittogr. C 13 ante *τοῦ* add. *τὰ* A, om. RwpDi *ἐπιγενομένου* B 15 ante *διὰ* add. *ὅτι* C *διεφθάρσθαι* w*p *μῖξιν* p invitis ARw 17 *τοῦ φόνου καὶ τῆς μοιχείας* D *τοῦ βασ.* om. D

16. Ceterum morbo invalescente et mentis alienatione saepe
invadente, neque frequenter in publicum prodibat rex neque
pompa regia utebatur neque securus in solio regio sedens rem
2 gerebat, sed vela circum suspensa regis comites, qui attendere
iussi observabant signa mali adventantis (quae quidem complura
ei erant), animadversa mentis alienatione statim obducebant et
3 rege aegroto ita obvoluto astantes secedere iubebant. Is vero
4 morbus ut subito accedebat, ita etiam subito recedebat. Sic
affectus Michaël a conspectu et accessu reginae paullatim abstinebat, seu verecundia, quod pro tantis meritis talem ei gratiam reponeret, seu pudore, ne in morbo suo, quo saepissime et celerrime corripiebatur, ab ea cerneretur, seu ob corporis habitum
5 corruptum et ad coniugalem consuetudinem iam ineptum. Quidam vero dicunt eum confessariis et adulterium et caedem regis

ἁμάρτημα παρ' ἐκείνων ἄλλας τε ἐδέξατο ἐντολὰς καὶ τοῦ
IV 144 ἀφροδισίων ἀπέχεσθαι· ἔνθεν τοι καὶ διαδόσεις ἐποιεῖτο χρη- 6
μάτων πολλῶν καὶ σεμνεῖα ᾠκοδόμει καὶ εἰς Θεσσαλονίκην
ἀπῆλθε, τοῦ καλλινίκου μάρτυρος Δημητρίου δεόμενος ἵνα τι
τοῦ πάθους εὕρῃ ἀλέξημα· τῷ δὲ καὶ νόσος ὑδερικὴ προσ- C
εγένετο. ὡς οὖν οὕτως ἔχοντα τὸν ἀδελφὸν ἑώρα ὁ Ἰωάννης, 7
δείσας περὶ τῇ βασιλείᾳ μὴ ἀθρόον θανόντος τοῦ αὐτοκράτορος
ἐπὶ τῇ Ζωῇ γένηται ὡς κληρονόμῳ αὐτῆς, κἀντεῦθεν αὐτός
τε καὶ τὸ γένος ὅλον εἰς ἐξολόθρευσιν γένηται, μέτεισι τὸν
αὐτοκράτορα πιθανότησι καὶ πείθει τὸν ἀδελφιδοῦν αὐτοῦ τὸν
Μιχαὴλ προχειρίσασθαι Καίσαρα, ἵν' ἔφεδρος εἴη τῇ τῆς βα-
σιλείας ἀρχῇ. ἐπεὶ δὲ τῆς βασιλείας, ὡς εἴρηται, κληρονόμον 8
τὴν Ζωὴν ᾔδει, μέτεισι κἀκείνην, καὶ μητέρα τὴν εὐγενῆ τοῦ
δυσγενοῦς ἀναπλάττουσιν. ἄμφω γὰρ τὼ ἀδελφὼ διαλεχθέντε 9
αὐτῇ περὶ τούτου εἰσποιητὸν ταύτης τὸν Μιχαὴλ υἱὸν ὀνομά-
ζουσιν. ἡ δὲ μήτ' ἀντειπεῖν θαρροῦσα τοῖς ἐκείνων θελήμασι 10 D W III 191
καὶ ἄλλως εὔκολος οὖσα καὶ τὴν γνώμην εὐάγωγος κατένευσε.
καὶ συνήθροιστο μὲν εἰς τὸν ἐν Βλαχέρναις θεῖον ναὸν ἡ γε- 11
ρουσία ἐκ προκηρύγματος καὶ οἱ πληροῦντες τὴν τάξιν δὴ τὴν

5 ὅτι καὶ ὑδέρῳ περιέπεσεν ὁ βασιλεὺς Μιχαὴλ CE 18 ὅτι ὁ Καλαφά-
της Μιχαὴλ (om. E) υἱοθετήθη τῇ βασιλίσσῃ καὶ Καῖσαρ ἀνηγορεύθη CE

1 ἄλλας τε παρ' ἐκείνων BC 5 εὕροι BC τῷ] ὁ D 8 κλη-
ρονόμος B 10 πιθανότητι DE αὐτῶν BC 11 τῇ om. D
12 ἀρχὴ (sic) A 13 κἀκεῖνον D 14 τὼ ἀδελφὼ RwpDi, τῷ
ἀδελφῷ AD 15 υἱὸν om. B 17 εὐαγωγὸς w*p invitis AR, v.
XVII 18, 7 18 ἡ γερουσία om. D

confessum cum alia ab iis praecepta accepisse, tum ut re venerea
abstineret. Quapropter multum pecuniae erogabat et sacras aedes 6
exstruebat et ad inclutum martyrem Demetrium peregrinabatur
Thessalonicam, illius mali depulsionem orans; verum ad illud
etiam hydrops accessit. Quae cum frater eius Ioannes videret, 7
veritus, ne imperatore subito exstincto imperium ad Zoën iure
hereditario rediret, ipseque cum tota familia exstirparetur, pro-
babilibus verbis imperatori persuadet, ut nepotem ex sorore Mi-
chaëlem Caesarem appellet in regno successurum; cuius quia 8
Zoë heres erat, ut dictum est, illam quoque arte tractat. Ita
matronam nobilem matrem ignobilis pueri fingunt. Ambo enim 9
fratres ea de re cum illa collocuti Michaëlem eius filium adopti-
vum nominant. Ea vero quae nec voluntatibus eorum refragari 10
auderet et alioquin facilis ac tractabilis esset, annuit. Senatu 11
igitur et iis, qui comitatum regium explent, in Blacherniam aedem

βασίλειον, ἐν δὲ μέσοις τούτοις ἡ βασιλὶς προαχθεῖσα κἀν ταῖς
κιγκλίσι γενομένη τοῦ θυσιαστηρίου ἐκεῖθεν εἰσποιεῖται τὸν Μι-
12 χαὴλ καὶ ὡς υἱὸν ἀγκαλίζεται. ὁ δ' αὐτοκράτωρ αὐτίκα τοῦτον
13 προχειρίζεται Καίσαρα καὶ τὸ ἄθροισμα ἐπευφήμησεν. ἔδοξε
μὲν οὖν ὁ Ἰωάννης ἤδη τὸ πᾶν κατεργάσασθαι καὶ τὸ κράτος
P II 240 A τῷ οἰκείῳ γένει περιποιήσασθαι· τὸ δ' ἦν ἀνατροπὴ τοῦ παντὸς
αὐτῷ τε καὶ τοῖς προσήκουσιν ἅπασιν· ὅπως δέ, ὁ λόγος δη-
λώσει κατὰ καιρόν.

17 Τῶν δὲ Βουλγάρων, ὡς ἤδη ἱστόρηται, ὑπὸ Βασιλείου
τοῦ βασιλέως καταπολεμηθέντων καὶ τῆς αὐτῶν βασιλείας καθ- D IV 145
αιρεθείσης, μέχρι μέν τινος ἔφερον οἱ βάρβαροι τὸν τῆς δου-
2 λείας ζυγόν. εἶτα τοῦτον ἀποσείσασθαι διανενόηντο καὶ ἐσφά-
3 δαζον, ἀλλὰ σφίσι τὸ ἄναρχον ἐκώλυε τὸ ἐννόημα. ἀνὴρ δέ
τις ἄσημος μὲν τὸ γένος, Δολιάνος καλούμενος, δόλου δὲ μεστὸς
καὶ δεινότητος, υἱὸν ἑαυτὸν ἐπιφημίσας τοῦ Ἀαρών, ὃς τοῦ
Σαμουὴλ τοῦ ἄρξαντος τοῦ ἔθνους ἦν ἀδελφός, ἐκ Βυζαντίου,
ὡς λέγεται, ἀποδρὰς καὶ πείσας τὸ ἔθνος παῖς εἶναι τοῦ Ἀαρών,

12 ὅπως ἀπεστάτησε πάλιν τὸ τῶν Βουλγάρων ἔθνος CE καὶ ὅπως εἰς δύο ἀρχηγοὺς περιέστη, καὶ ὅπως ὁ εἷς τὸν ἄλλον διέφθειρε, παρασκευάσας τὸ πλῆθος λιθολευστῆσαι αὐτόν C

1 τούτοις] τόποις D 1. 2 ἡ βασιλὶς—ἐκεῖθεν εἰς om. E (pergit ποιεῖται κτλ.) 2 κιγλίσι D 3 δὲ Ewp 4 πρωχειρίζεται p* ἄστροισμα D ἐπευφήμισεν D, ἐπεφήμησεν E; hoc ex loco apud Psell. p. 61, 4 corrigendum est ἐπευφήμησαν 7 τε om. BC 9 δὲ] γε μὴν C ἱστόρηται] XVII 9, 23 ἀπὸ | E 11 post τινος supplet ἔφερον Cw, om. C 12 εἶτ' ἀποσείσασθαι τοῦτον BC 13 ἐννόημα] διανοούμενον BC δὲ] μὲν C 14 μὲν δὲ C Δολίανος Psell. p. 69, 3 vix recte Δολιάνος—δόλου] De annominatione v. ad XIII 5, 29 et cf. XVII 17, 9. 32 δούλου D 15. 16 υἱὸν—ἀδελφός om. D

convocatis, regina producta in medium et intra sacrarii cancellos
12 progressa inde Michaëlem adoptatum pro filio ulnis excipit, eun-
demque imperator statim Caesarem appellat et populi frequentia
13 consalutat. Ac Ioannes quidem se iam omne negotium confecisse
et imperium ad suam familiam detulisse putabat, sed eo pacto
eum et se ipsum et omnes suos necessarios funditus evertisse,
suo loco erit dicendum.

17. Bulgari a rege Basilio, ut dictum est, subacti suo regno
2 everso iugum servitutis ad tempus ferebant. Tandem vero cum
de eo excutiendo cogitantibus libertatisque desiderio flagrantibus
3 dux et auctor deesset, vir quidam obscuro ille quidem genere
ortus Dolianus, sed doli et atrocitatis plenus Byzantio, ut fertur,
fuga elapsus et professus se filium esse naturalem, non legitimum

ἐξ ἡμιγάμου ἐκείνῳ γενόμενος, ἀλλ' οὐκ ἐξ ἐννόμου εὐνῆς, εἰς B
βασιλέα τοῖς βαρβάροις ᾑρέθη. ἐντεῦθεν εἰς φανερὰν ἀποστα- 4
σίαν ἐξερράγη τὸ ἔθνος καὶ εἰς λῃστείας κεκίνητο καὶ τὰ Ῥω-
μαίων κατέτρεχε. στέλλεται τοίνυν στρατηγός τις μετὰ δυνά- 5
μεως, ἵν' ἀνακόπτῃ τὰς ἐπιδρομὰς τοῖς λῃστεύουσιν. ὁ δὲ 6
κακῶς τοῖς ὑπ' αὐτὸν προσφερόμενος ἐξηρέθισε τούτους καθ'
ἑαυτοῦ καὶ ἀπώλετο ἄν, εἰ μὴ ἀπέδρα νυκτός. ἡ γοῦν ὑπ' 7
αὐτὸν στρατιὰ δείσασα πρὸς ἀποστασίαν ἐχώρησε καί τινα ἐξ
ἑαυτῶν Τειχομηρὸν κεκλημένον, ἐκ δὲ γένους φύντα Βουλ-
γαρικοῦ, ἀρχηγὸν ἑαυτοῖς προχειρίζονται καὶ βασιλέα Βουλγα- C
ρίας αὐτὸν ὀνομάζουσι. καὶ τὰ τῶν Βουλγάρων διῄρητο, τῶν 8
μὲν τῷ Δολιάνῳ, τῶν δὲ τῷ Τειχομηρῷ προσρυϊσκομένων.
ἀλλὰ δόλῳ μετῆλθεν ὁ Δολιάνος τὸν ἀντικαθιστάμενον· μετα- 9. 10
καλεῖται γὰρ αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς καὶ τῆς πρὸς Ῥω-
μαίους μάχης· καὶ ὃς πείθεται. ἐπεὶ οὖν ἡνώθησαν ἄμφω 11
οἱ ἀρχηγοὶ καὶ τὸ πλῆθος τῶν Βουλγάρων συνήθροιστο, ὁ Δο-
λιάνος πρὸς τοὺς συνειλεγμένους ἔφη μὴ ἄν ποτε σωθήσεσθαι
τὸ τῶν Βουλγάρων ἔθνος ὑπ' ἀρχηγῶν δυοῖν κυβερνώμενον,
καί "εἰ τὴν σωτηρίαν ὑμῶν βούλεσθε, τὸν ἕνα ἐξ ἡμῶν ποι- 12
D IV 146 ήσατε ἐκποδών· εἰ μὲν οὖν ἐμὲ τοῦ γένους εἶναι τοῦ Σαμουὴλ

2 *φανερὰν* om. D 7 *γοῦν*] *δ'* D 10 *προχειρίζουσι* DE 11 *ὀνομάζουσι* RwpDi, *ὀνομάζουσιν* A, v. ad XIII 1, 5 *διήρηντο* D 12 *τῷ* post *δὲ* om. p* invitis ARw *παραρρυισκομένων* D 13 *δόλῳ—Δολιάνος*] V. ad XVII 17, 3 14 *κοινωνίαν* D ante *τῆς* prius add. *καὶ* Rwp 15 *γοῦν* DEwp 18 *δυεῖν* BC 19 *βούλεσθαι* (ε supra) | D *ἐξ ἡμῶν* AC, *ἐξ ὑμῶν* RCwwp 20 *ἐκποδῶν* BDE *τοῦ* alterum om. E

Aaronis, qui frater Samuelis fuit principis Bulgarorum, a barbaris
rex eligitur. Ex eo tempore gens aperte defecit et ad latrocinia 4
conversa Romanorum fines pervastabat. Ad eorum igitur incur- 5
siones coërcendas quidam dux cum copiis missus, cum milites 6
suos male tractasset, eorum iracundia periisset, nisi aufugisset
noctu. Eius vero exercitus metu deterritus poenae defecit et quen- 7
dam de suis Tichomerum, Bulgarum genere, ducem creant regem-
que Bulgariae nominant. Sic res Bulgarorum divisae sunt, aliis 8
ad Dolianum, aliis ad Tichomerum confluentibus. Sed Dolianus 9. 10
adversarium dolo aggressus ad regni bellique Romani societatem
arcessit. Qui cum paruisset, congregatis et ducibus et exercitu 11
Bulgarico Dolianus professus est rem Bulgaricam nunquam salvam
fore sub duobus regibus. "Quodsi" inquit "vestrae saluti prospi- 12
cietis, alterum de nobis e medio tollite. Ac si me ex genere

οἴδατε, ἀποσκευάσασθε τὸν Τειχομηρόν· εἰ δ' οὐ τοῦτο, αὐτῷ
D 13 *μὲν ἑαυτοὺς ὑποτάξατε, ἐμὲ δ' ἐκ μέσου ποιήσατε." ἐπὶ τού-*
τοις θροῦς ἤρθη, καί οἱ τὴν βασιλείαν ξύμπαντες ἐπευφήμησαν,
14 *καὶ ὁ Τειχομηρὸς κατελεύσθη. ὁ δὲ Δολιάνος αὐτοκράτωρ γενό-*
μενος εἷλέ τε τὸ Δυρράχιον καὶ κατὰ τῆς Ἑλλάδος ἐχώρησε
καὶ τὰ Νικοπολιτῶν προσεποιήσατο, τῶν ἐν αὐτοῖς ἑκόντων
προσχωρησάντων αὐτῷ, ἐπεὶ μὴ ἔφερον τὴν τοῦ ὀρφανοτρόφου
15 *ἀπληστίαν καὶ τὸ ἀκόρεστον. καὶ ὁ μὲν οὕτως λείαν Μυσῶν τὸ*
16 *τοῦ λόγου τὰ Ῥωμαίων ἐτίθετο. ὁ δὲ βασιλεὺς τῆς ἀγγελίας κο-*
μισθείσης αὐτῷ αὐτίκα ὥρμα καταλαβεῖν τὸν ἀποστατήσαντα,
δεινὸν ἡγεῖσθαι λέγων, εἰ μηδὲν αὐτὸς τῇ βασιλείᾳ προσενεγκὼν
17 *μοῖραν ταύτης ἀφαιρεθεῖσάν τινα παραβλέψεται. ὅτι δέ οἱ ἀπ-*
έγνωστο τὸ βιώσιμον (ἤδη γὰρ ὁ ὕδερος αὐτοῦ κατεκράτησε
καὶ αὐτοῦ τὸ σῶμα ἐξώγκωτο), τό τε συγγενὲς ἀπεῖργε τὴν
P II 241 A *ἐκστρατείαν αὐτῷ παρακλήσεσι καὶ οἱ προὔχοντες τῆς βουλῆς*
18 *οὐκ ἐπῄνουν τὸ βούλευμα. ἀλλ' ἐκεῖνος ζήλῳ ῥωννύμενος*
καὶ ἀντεπάγων τῇ ἀσθενείᾳ τὸ πρόθυμον ἐπὶ τοὺς Σκύθας

9 *ὅτι ὁ βασιλεὺς ὑδεριῶν ἐξεστράτευσε κατὰ Βουλγάρων* C

3 *ἐπεφήμησαν* D 4 *δολιανὸς* D *γενόμενος μόναρχος* BC 5 *τε* exitu versus om. C 6 *τὰ νικοπολλὰ* A, *τὰ νικοπολὰ* (s. acc. D) R, *τὴν νικόπολιν καὶ τὰ ὑπ' αὐτὴν* BCwp*Di*, *τὸ θέμα τῶν Νικοπολιτῶν* Cedr. (Scylitz.) II p. 529, 22, *τὰ Νικοπολιτῶν* corr. *B-W* *ἀκόντων* C, corr. C_w 8 *οὕτω* DEwp*Di*, v. ad XIII 6, 16 *λείαν* Rwp*Di*, *λίαν* A 8. 9 *τὰ ῥωμ. τὸ τοῦ λόγου* D 9 *λόγου*] Proverbium illud (v. C. B. Hasium ad Leon. Diac. p. 193 B) usitatum est Zonarae, v. p. 589, 12; cf. Psell. p. 68, 21, ubi *Μυσῶν* perperam est inductum. 10 *λαβεῖν* D 12 *ἀφαιρεσθεῖσαν* w*p invitis AR *παραβλέψετο* D 15 *προύχοντες Di* invitis ARwp, v. ad XV 12, 17 17 *σκύθας* AD Psell. p. 71, 9, *ἀποστάτας* Rwp

Samuelis esse noveritis, Tichomerum amovete; sin minus, illi
13 parete meque tollite." Hinc clamore sublato, ab omnibus rex
14 consalutatur, Tichomerus lapidibus obruitur. Dolianus ita rerum
potitus Dyrrhachium capit et Graeciam aggressus Nicopolitanorum finibus potitur, ultro deditione facta a civibus orphanotrophi
15 rapacitatem insatiabilem non ferentibus. Ita, ut est in proverbio,
16 ille Romanas ditiones faciebat Mysorum praedam. At rex defectione nuntiata ad auctorem eius illico comprehendendum incitatus iniquum esse dicebat, si ipse, qui ad regnum nihil attu-
17 lisset, aliquam eius partem rapi pateretur. Sed quia de salute eius iam desperatum erat (invaluerat enim hydrops tumefacto corpore), tum cognati eius expeditionem deprecabantur, tum primores
18 senatus consilium improbabant. Ille vero aemulatione confirmatus et corporis imbecillitatem animi viribus sustentans contra

χωρεῖ, καὶ ἦν τὸ πρᾶγμα θαύματος ἄξιον. νυκτὸς γὰρ τῇ 19
νόσῳ καταπονούμενος καὶ οὐκ ἂν ἐς αὔριον ἀναστήσεσθαι προσ-
δοκώμενος, ὁ δὲ ἡμέρας ἄρτι φανούσης ἔφιππός τε ὡρᾶτο καὶ W III 192
προῄει τῆς στρατιᾶς. ὡς δ' ἐν τοῖς τῶν Σκυθῶν τούτων ὁρίοις 20
ἐγένετο, ἡτοιμάζετο πρὸς ἀντιπαράταξιν. οὔπω δ' ἀλλήλοις τὰ 21
τάγματα συνερρώγεσαν καί τι συμβὰν ἀπόνως τάχα τῷ βασιλεῖ
τὴν νίκην προσένειμεν. ὁ γάρ τοι τοῦ Ἀαρὼν ἐκείνου υἱός, 22 B
D IV 147 ὁ πατρίκιος Ἀλουσιάνος, παρὰ Ῥωμαίοις ὢν ἔτι, προσκεκρουκὼς
τῷ κρατοῦντι, ἐπ' οἴκου μένειν καταδεδίκαστο καὶ μήτε προσ-
ιέναι πρὸς τὰ ἀνάκτορα μήθ' ὅλως εἰσιέναι πρὸς τὸ Βυζάντιον,
εἰ μὴ ἐπιτραπείη τὴν εἴσοδον. ἠθύμει γοῦν διὰ ταῦτα· ἐπεὶ 23
δ' ἐγνώκει τὴν τοῦ ἔθνους ἀποστασίαν καὶ τὴν τοῦ Δολιάνου
αἵρεσιν εἰς τὸ ἄρχειν αὐτοῦ, ἀποδιδράσκει μὲν τῆς οἰκίας αὐτοῦ
καὶ μεταμφιέννυται, Ἀρμενίου τε στολὴν περιθέμενος ἑαυτῷ 24
καὶ θεράπων εἶναι τοῦ Θεοδωροκάνου πλαττόμενος καὶ ἀπιέναι C
πρὸς τὸ στρατόπεδον ἔλαθε πάντας καὶ πρὸς Βουλγαρίαν κατ-
ήντησεν. ἀλλ' οὐκ αὐτίκα δῆλον ἔθετο ἑαυτόν, προσομιλῶν 25

7 ὅπως ὁ Ἀλουσιάνος ἔφυγεν ἐκ τῶν Ῥωμαίων εἰς τοὺς Βουλγάρους, καὶ ὅπως ἐγνωρίσθη τοῦ Ἀαρὼν εἶναι (om. E) υἱός CE καὶ ὅπως τὸν Δολιάνον κατασχὼν ἀπετύφλωσεν C

2 ἀναστήσεσθαι] Noli ἀναστήσασθαι mutare; v. Zonar. I p. 7, 16. 8, 19. 9, 4. 40, 7 (ubi scriptura cod. A est revocanda). 291, 17. 292, 16 cet. 3 διαφανούσης B(?)Ewp, διαφαυούσης C, διαφαυ|σάσης D ὁρᾶτο D 4 σκυθῶν τούτοις A*Di*, σκυθῶν τούτων D*B-W*, βουλγάρων Rwp 6 συνερράγησαν D τι Rwp*Di*, τοι AD 8 ἀλουσιάνος E ἔτι A, καί τι Rwp, καί τοι D 9 ἐπ' p* 11 τραπείη E

Scythas proficiscitur, ac res mira quaedam accidit. Nam cum 19
noctu morbo opprimeretur nec postridie surrecturus putaretur,
diluculo in equo conspiciebatur et exercitum praecedebat. Ut 20
autem in Scytharum fines venit atque ad acie decertandum pa-
ravit, priusquam exercitus congrederentur, quiddam intervenit, 21
quod regi celerem victoriam sine ullo labore peperit. Nam 22
Aaronis illius filius patricius Alusianus, cum apud Romanos esset
atque imperatorem nonnihil offendisset, ea poena multatus erat,
ut domi se tenens neque regiam frequentaret neque Byzantium
intraret sine permissu. Qua calamitate dolens ubi gentis suae 23
defectionem cognovit et electionem Doliani, cui parendum esset,
domo effugit mutatoque vestitu et Armenii habitu sumpto, 24
Theodorocani se famulum esse et in castra ire simulans, a ne-
mine agnitus est, donec in Bulgariam perveniret. Ac ne ibi 25
quidem statim se cognoscendum praebuit, sed inter colloquendum

δέ τισι τοῦ Ἀαρὼν ἀνεμίμνησκε καί "ἄρα" ἔλεγεν "εἴ τις τῶν
ἐκείνου παίδων παρῆν, ἔδοξεν ἂν ὑμῖν εἰς τὴν ἔθνους ἀρχὴν
26 προτιμότερος τοῦ νόθου ὁ γνήσιος;" ὡς δὲ πάντες πεποίηντο
δι' εὐχῆς τὸ ὑπὸ γνησίου παιδὸς ἄρχεσθαι τοῦ Ἀαρὼν καὶ τὴν
βασιλείαν αὖθις εἰς ἀναμφίβολον περιστῆναι ἄνδρα καὶ τῷ πάλαι
βασιλείῳ γένει προσήκοντα καθαρῶς, πιστεύει τινὶ τὸ ἀπόρρητον
D 27 τῶν μᾶλλον εἰδότων τὸ γένος τοῦ Ἀαρών. ὁ δὲ περιεργότερον
αὐτῷ ἀνιχνεύσας τὸ εἶδος τοῖς ὀφθαλμοῖς, εἶτα καί τι σημεῖον
28 εἰδὼς προσὸν αὐτῷ ἀναμφίβολον, καὶ τοῦτο ἰδεῖν ἀπαιτεῖ. τὸ
δ' ἦν περὶ τὸν δεξιὸν ἀγκῶνα χρῶμά τι μέλαν καὶ θρὶξ δα-
29 σεῖα περὶ αὐτό. ἰδὼν οὖν καὶ τοῦτο καὶ οὐκέτι ἔχων ἐνδοι-
αστῶς καταβάλλει μὲν ἑαυτὸν ἐνώπιον τοῦ ἀνδρὸς καὶ τοὺς
30 πόδας αὐτοῦ περιπτύσσεται. διδάσκει δὲ καὶ τοὺς ἄλλους τὸν
31 ἐκ τοῦ βασιλείου γένους αὐτοῖς ἀφικόμενον. καὶ πολλοὶ τοῦ
ἀμφιβόλου ἀπορραγέντες τῷ γνησίῳ προσέθεντο, καὶ μεμέριστο
ἡ ἀρχή· ὡς δ' οὐ πάντως τῆς βασιλείας αὐτῆς στησομένης, εἰ
πρὸς ἀλλήλους οἱ ἀρχηγοὶ διαφέροιντο, κοινοπραγοῦσι καὶ

1 ἄρα D 2 post τὴν add. τοῦ Rwp 5 ἡγεμονίαν BC αὖθις αὐτῶν Bwp, αὖθις omisso αὐτῶν AR, αὐτῶν omisso αὖθις C 7 τὸ γένος RwpDi, τοῦ γένους A περιεργώτερον B 8 τι om. DE 9 προσὸν RwpDi, πρὸς ὃν A 10 χρῶμά τι (χρῶμα τι C) μέλαν περὶ τ. ἀγκῶνα τ. δεξιὸν BC χρῶμά τι] χρώματι D 11 καὶ τοῦτο ἔχων omissis καὶ οὐκέτι C, δὲ τοῦτο, καὶ οὐκέτι ἔχων Cw ἐνδοιαστῶς OswpDi, ἐνδοιάστως E, ἀνενδοιαστῶς A (eadem ratione inter se bis permutantur ἐνδοιάζειν et ἀνενδοιάζειν in Crameri anecd. Oxon. vol. II p. 341, 7. 11) 12 καταβάλλειν D ἑαυτὸν] αὐτὸ D 13 περιπτήσεται D 14 τοῦ prius om. DE 16 πάντες C, corr. Cw αὐτοῖς Rwp 17 ἀρχητοὶ D

**Aaronis mentionem apud quosdam interiecit et "Si quis" inquit
"illius liberorum adesset, legitimusne vobis spurio in regni suf-
26 fragiis praeferendus videretur?" Cum vero omnes optarent, ut
res essent penes germanum Aaronis filium, cuius viri natales haud
ambigui essent quique ex vetusta regia stirpe sine controversia
originem duceret, arcanum cuidam ex iis, quibus Aaronis familia
27 notior erat, aperit. Qui cum faciem illius oculis accuratius per-
28 lustrasset, tandem etiam signum indubitatum videre cupit. Id
vero erat nigra macula in cubito dextero densis pilis circum-
29 data. Quod cum vidisset, iam omni scrupulo exempto prostratus
30 viri pedes amplectitur atque etiam ceteros docet adesse regii
31 generis virum. Postquam autem multi ab homine illo ambiguo
avulsi ad germanum se contulerunt, illi, cum diviso imperio,
principibus inter se dissidentibus, regnum consistere omnino haud
posse censerent, inter se paciscuntur, ut communi consilio rem-**

IV 148 σπένδονται, ἀλλήλους δὲ καὶ ὑπώπτευον καὶ ἐνήδρευον. ἀλλ' 32 P II 242 A
ὀξύτερος εὑρέθη ὁ Ἀλουσιάνος πρὸς τὴν ἐπιβουλὴν καὶ τὴν
τοῦ Δολιάνου προέφθασε δολιότητα. καὶ πότον ἑτοιμασάμενος 33
καὶ συμπότην παραλαβὼν τὸν συνάρχοντα ἐπιτίθεταί οἱ συμ-
ποσιάζοντι καὶ ἐξορύττει τῷ ἀθλίῳ τὰ ὄμματα, καὶ εἰς μίαν
ἐντεῦθεν ἀρχὴν τὸ Σκυθικὸν περιίσταται. εἶτα δι' ἀπορ- 34
ρήτων μηνύει τῷ βασιλεῖ βουλεύσασθαι προσχωρῆσαι αὐτῷ,
εἰ εὐμενοῦς αὐτοῦ τεύξεται καὶ ἀναλόγων οὐκ ἀμοιρήσει τῶν
ἀμοιβῶν. ὁ δὲ τὴν ἔντευξίν τε προσήκατο καὶ ἀξίως ἀμεί- 35
ψασθαι αὐτὸν ἐπηγγείλατο. καὶ ὃς αὐτίκα προσεληλύθει καὶ 36
τετίμητο μάγιστρος. ὁ δὲ βασιλεὺς ἔπεισι τῷ ἔθνει εὐθύς, 37
τὸ δὲ ἄναρχον ὂν καὶ διεσπαρμένον οὐ δυσέργως καταπολε-
μηθὲν αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑπέκυψε, καὶ ὁ βα-
σιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε καὶ κατήγαγε θρίαμβον, B
αἰχμαλώτους τε πολλοὺς διαγαγὼν ἐν αὐτῷ καὶ τὸν Δολιάνον
αὐτὸν πεπηρωμένον τὰ ὄμματα.

Εἶχε δ' ὁ αὐτοκράτωρ κακῶς καὶ ἤδη τῇ λύσει προσ- 38
ήγγισε τῆς συνθέσεως. καταφρονεῖ γοῦν τῆς ἀρχῆς καὶ ἐκ τῶν 39

6 ὅτι (ὅπως E) προσῆλθεν ὁ Ἀλουσιάνος τῷ βασιλεῖ CE 17 ὅπως ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὴν μονὴν (om. E) τῶν ἁγίων Ἀναργύρων καὶ ἀπεκάρη CE

1 καὶ post δὲ om. BC ὑπόπτευον w*p invitis AR 2 ὁ ἀλουσ. ante ὀξύτερος BC ἀλλουσιάνος E, item depravatum atque apud Psell. p. 71, 25, qui tamen rectam formam servavit p. 73, 20. 23 3 Δολιάνου—δολιότητα] V. ad XVII 17, 3 4 συμπότην τε omisso καὶ BC 7 βουλεύσασθαι A, βούλεσθαι DEwp*Di*, om. R 8 εὐμενῶς E 13 ἀπέκυψε D 15 αἰχμαλώτους τε πολλοὺς AR Psell. p. 74, 8, πολλοὺς τὲ δορυαλώτους BC 17 προςήγγιζε O

publicam administrarent, nihilo secius uterque alteri suspectus
atque insidians. Verum Alusianus ad insidiandum promptior 32
Doliani dolum antevertit. Nam collega ad convivium apparatum 33
invitato, miserum hominem inter pocula comprehensum ex-
caecat; sic Scythicae gentis imperio solus potitus regi secreto 34
nuntiari iubet se decrevisse illi deditionem facere, si clementer
susciperetur neque fraudaretur iustis praemiis. Ille nec abnuit 35
eius accessum et parem gratiam se esse relaturum pollicetur.
Cum igitur venisset, magister creatur; rex vero gentem duce 36. 37
destitutam et dispersam statim haud difficulter superatam Romano
imperio rursus subicit et in urbem reversus triumphat, cum mul-
tis aliis captivis, tum Doliani caecato adductis.

Sed cum rex perdita esset valetudine nec longe abesset a dis- 38
solutione compagis, despecto imperio relictaque regia in monaste- 39

βασιλείων μεταχωρεῖ καὶ ἄπεισιν εἰς ὅπερ αὐτὸς πρὸ τῶν τει-
χῶν τῆς πόλεως ἱδρύσατο ἀσκητήριον, ὃ ἐπὶ τῇ κλήσει τῶν
40 *θαυματουργῶν Ἀναργύρων ὠνόμασεν. ἔνθα δὴ γεγονὼς ἐκ-*
διδύσκεται μὲν τὴν ἁλουργίδα καὶ τἆλλα πάντα τῆς βασιλείας
γνωρίσματα, κείρεται δὲ τὴν τρίχα καὶ τελεῖται τὴν ἱερὰν
W III 193 *τελετήν, ἐνδύεται δὲ τὸ ῥάκος τῆς ἐν Χριστῷ ταπεινώσεως*
καὶ περιζώννυται τὸ θεῖον δέρας τὸ τῆς ἑκουσίου νεκρώσεως
C 41 *σύμβολον ὁ ἤδη καὶ ἄκων νεκρούμενος. ὡς οὖν ἠγγέλθη τῇ*
βασιλίσσῃ τὸ γεγονός, πεζῇ τῶν βασιλείων ὑπέξεισι καὶ πρὸς
42 *ἐκεῖνον ἀφίκετο. ὁ δὲ ταύτῃ τὰς θύρας ἐπιζυγοῖ καὶ τὴν πρὸς* D IV 149
αὐτὸν ἀπείργνυσιν εἴσοδον, οὐκ οἶδα εἴτ' αἰδούμενος ἀνθ' ὧν
πρὸς αὐτὴν ἐνεδείξατο εἴθ' ὅλος τῆς μετανοίας γενόμενος καὶ
μὴ θέλων εἰς μνήμην ἐλθεῖν τῆς πρὸς ἐκείνην παλαιᾶς διαθέ-
43 *σεως. ἡ μὲν οὖν μὴ ἐντυχοῦσα τῷ Μιχαὴλ ὑπενόστησεν· ὁ*
δὲ βραχύ τι τῇ μεταθέσει τῆς βιοτῆς ἐπιβιώσας πρὸς τὰς ἀϊδίους
μονὰς μετέθετο τὴν ζωήν, μέχρις ἐσχάτης ἀναπνοῆς τὸ πρὸς
44 *τὸν βασιλέα Ῥωμανὸν αὐτῷ τολμηθὲν ἀπολοφυρόμενος, βασι-*
λεὺς γεγονὼς ἐπιεικὴς καὶ χρηστός, ὅσον τὸ εἰς αὐτόν, τὸ συγ-

14 *τελευτὴ τοῦ βασιλέως Μιχαὴλ τοῦ Παφλαγόνος* CE

1. 2 *τῆς πόλεως* ante *τειχῶν* BC 4 *ἁλουργίδα* B^{s}EwpDi, *ἀλουργίδα* AR, v. ad XIV 1, 2 *τἆλλα* A, *τἄλλα* R^{s}wpDi, v. ad XVI 3, 15 6 *ἐνδύεται δὲ* ADE, *καὶ ἐπενδύεται* Rwp *ῥᾶκος* AD, *ῥάκκος* C, *ῥάκος* B^{s}EwpDi *ἐν χριστῷ* om. D 8 post *οὖν* add. *ἤδη* C *ἠγγέλη* C 9 *πεζῇ* AR (Psell. p. 76, 5), *πεζὴ* BswpDi 11 *εἴτ'* RwDi, *εἶτ'* Ap 12 *ὅλος* RwpDi, *ὅλως* AD 13 *ἐκεῖνον* D 15 *βραχὺ* post *ἐπιβιώσας* omisso *τι* BC 16 *μονὰς* RwpDi, om. A 18 *σαυτὸν* D *συγγενες* (s. acc.) w*, *σύγγενες* (sic) p*

rium suburbanum a se exstructum, sanctorum Anargyrorum indito
40 nomine, secedit ibique purpura ceterisque insignibus regni ab-
iectis, raso capillo initiatur et Christianae submissionis lacerna
induta, sacro vellere, voluntariae mortificationis signo, cingitur,
41 iam vel ingratis mortificandus. Quo facto nuntiato, regina e
42 regia ad illum pedibus profecta excluditur, ad colloquium non
admissa, haud scio an verecundia malae reginae tractationis, an
quod totus paenitentiae deditus veteris erga illam affectionis
43 memoriam renovare noluerit. Sic illa Michaëlem non allocuta
discessit; ipse vero isti mutationi haud diu superstes usque ad
extremum spiritum admissum facinus in Romanum commissum
44 deplorare non destitit. In regno se clementem et aequum prae-
buit, quantum in ipso erat, sed fratres eius bonitati quandam

γενὲς δέ οἱ ὥσπερ τις κηλὶς προσεπεφύκει αὐτῷ ῥυπαίνουσά D
πως τὴν ἐκείνου χρηστότητα. ἱστόρηται δὲ τοῖς μὲν ἐπ' ἔτος 45
ἕβδομον τὸ σκῆπτρον κατασχεῖν τὸ Ῥωμαϊκόν, τοῖς δὲ καί τι
τούτου ἐπέκεινα.

Ἧκε δ' ἡ τῆς βασιλείας ἀρχὴ πρὸς τὸν Καίσαρα, πάντα 18
τοῦ μητραδέλφου αὐτοῦ τοῦ Ἰωάννου ἀνύοντος. ὁ μὲν γὰρ 2
βασιλεὺς Μιχαὴλ Καίσαρα τοῦτον ἐτίμησεν, ὡς προγέγραπται,
εἶτα ὥσπερ μεταμελόμενος οὐ χρηστὴν πρὸς ἐκεῖνον ἐτήρει διά-
θεσιν. ὅθεν καὶ ἔξω που τῆς πόλεως ὥριστο αὐτῷ ἡ κατ- 3
αγωγή, καὶ οὐδ' ἐφεῖτο τούτῳ, εἰ μὴ κελευσθείη, πρὸς τὸν βα-
σιλέα φοιτᾶν. ἐπεὶ δὲ τῶν βασιλείων ὑπεξῆλθεν ὁ αὐτοκράτωρ, 4
ὡς εἴρηται, οἱ ἐκείνου αὐτάδελφοι βασίλειον πλάττονται γράμμα, P II 243 A
ἐπιτρέπον ἐκείνῳ τὴν πρὸς τὰ ἀνάκτορα πάροδον. καὶ ὁ μὲν 5
εἰσελήλυθεν· ὁ δὲ πρῶτος τῶν ἀδελφῶν ὁ ὀρφανοτρόφος μὴ
δεῖν συνεβούλευσεν ἐπιχειρῆσαι πράξει τινὶ γνώμης τῆς βασι-
λίδος χωρίς. προσίασι τοίνυν αὐτῇ καὶ τοῖς ἐκείνης ποσὶ τὸν 6
Καίσαρα καταβάλλουσι καὶ προΐσχονται τὴν εἰσποίησιν καὶ πί-
στεις διδόασι καὶ φρικώδεις ὅρκους ὀμνύουσιν ἦ μὴν τοῦ ὀνό-

5 *βασιλεία Μιχαὴλ τοῦ Καλαφάτου* AR, *ὁ Καλαφάτης* B   11 *ὅτι εἰσῆλθεν εἰς τὰ βασίλεια ὁ Καῖσαρ Μιχαήλ* C

1 *κηλίς τις* DE   *παραπεφύκει* DE   2 post *δὲ* add. *ὁ βασιλεὺς οὗτος* BCEwp   5 *τῶν ῥωμαίων* BCwp   6 *ἀννύοντος* E   7 *προγέχραπται* p*, v. p. 597, 6   8 *μεταμελόμενος* RwpDi, |*μελόμενος* A   10 *οὐδ'*] *οὐκ* D   *τούτω* corr. ex *τοῦτο* B, *τοῦτο* D   *αὐτοκράτορα* C   11 *ὑπεξῆλθεν*] *ὑπῆρξεν* E   12 *εἰρ.*] p. 603, 17   16 *ἐκείνης* RwpDi, *ἐκείνοις* A   17 *προΐσχονται* ADEw, *προβάλλονται* Rp (videtur *Duc* h. l. inspexisse libros suos Parisinos)   18 *ἦ* ARswp, corr. *Di*

ἐλάσασα περιφάνειαν καὶ εἰς πλούτου δαψίλειαν, ᾗ τῷ ἀδελφῷ
στερκτέα οὐκ ἦν, ηὐλαβεῖτο δ' αὐτὴν διὰ τὸ περιὸν τῆς φρο-
νήσεως. ἡ δὲ μή τινος ἐξ ἐκείνου τυγχάνουσα τῶν μειζόνων 8

3 περὶ τοῦ Τορνικίου Λέοντος E

1 αὐτῷ] ἄφ τῶ C πολυτελὲς D 2 ἡμερᾶς w*p ἐπιβιοὺς D 3 | δεινοτ. τ. μονομάχῳ D ὑπεξανέστη C, v. ad p. 433, 8 4 τορνίκη DE αὐτὴ D 5 τὴν] αὐτὴν D 6 δὲ] γὰρ B 7 ἀνδριανοῦ D ante τοὺς add. ἐξ ὀρέστου τοῦ ἀγαμέμνονος BCwp τι E 9 ὃ D πλείους B 10 καὶ] δὲ p* 11 ποτε om. C 14 ἡ om. C εὐπρέπεια D αὐτῶ D 15 τε om. BC σταθηροτέρα D, σταθηρωτάτη p* τὸ φρόνημα σταθηρὰ BC

imperatoris ei propter immeritum tot annorum exilium irati. Qui 26
cladi oculorum paucos dies supervixit.
23. Ceterum alia tyrannis atrocior est contra Monomachum
exorta, Leone Tornicio auctore, materno imperatoris cognato. 2
Qui cum Orestiadem habitaret (sic enim olim Hadrianopolis ap- 3
pellata est), Macedones habebat dicto audientes, tamquam vir
praestantior ceteris. Nam neque facie neque ingenio erat con- 4
temnendo; inerat ei etiam aliud quiddam, quo homines ad se alli-
ceret. Fama enim temere de illo ut et de aliis vaticinabatur 5
fore ut Romanis sceptris aliquando potiretur. Rex vero non 6
modo non erga eum ut cognatum affectus erat, sed et odio eum
persequebatur. Contra soror imperatoris Euprepia virum sibi et 7
conciliabat et amplectebatur, generosa femina et animo constan-
tissimo ad illustrem fortunam opumque affluentiam evecta, ne
ipsa quidem fratri cara, quod eam ob insignem prudentiam vere-
batur. Quae cum nihil ab illo magnifici consequeretur, neque 8

οὔτε συχνάκις αὐτῷ προσῄει καὶ ὑπερηφάνως ὅτε προσελήλυθε
9 προσεφέρετο, διελέγχουσά τε καὶ ὀνειδίζουσα. εἰ δ' ἐπὶ τούτοις
ἑωράκει τὸν ἀδελφὸν ὀργιζόμενον, ἀπεδυσπέτει καταφρονητικῶς.
10 ὁρῶν οὖν τὴν πρὸς τὸν Τορνίκην τῆς ἀδελφῆς ὁ βασιλεὺς γνη-
σιότητα ὑπώπτευέ τε καὶ ἐμηνία, καὶ ἵνα πόρρω ἀλλήλων θεῖτο
αὐτούς, τῶν ἐν Ἴβηρσι τῇ Ῥωμαίων ἡγεμονίᾳ διαφερόντων D IV 16
D αὐτῷ τὴν ἀρχὴν ἀνατίθησι, κατεσχηματισμένην εὐπροσώπως
11 ὑπερορίαν αὐτοῦ καταψηφισάμενος. καὶ ὁ μὲν ἀπῆλθεν· ἡ δέ
γε φήμη, ἣ πρὸς μέγα τύχης αὐτὸν ἐξῆρεν ἐν ἐλπίσιν, οὐκ
ἔληγε. καί τινες ἐκ τούτου τὸν ἄνδρα πρὸς τὸν βασιλέα δι-
12 έβαλλον. ὁ δὲ τοῖς λόγοις τούτοις τὴν γνώμην διασεισθεὶς
στέλλει καὶ κείρει μὲν τὴν κόμην τῷ Τορνίκῃ, συγκείρειν αὐτῷ
ταῖς θριξὶ καὶ τὰς ἐλπίδας οἰόμενος, ῥάκος δὲ μέλαν αὐτὸν
ἀμφιέννυσι, ζοφοῦν αὐτῷ νομίζων ἐντεῦθεν τὴν προσδοκωμένην
τῆς τύχης λαμπρότητα· οὕτω δ' ἐπανελθόντα μήτ' οἰκτείρας,
13 ἀλλὰ καὶ ἐπικαγχάσας ἀφῆκεν. οἱ δέ γε Μακεδόνες καὶ πρῴην,
ὡς εἴρηται, προσκείμενοι τῷ ἀνδρὶ καὶ χρηστὰς ἐλπίδας ἐπ'
P II 252 A αὐτῷ θάλποντες, νυκτὸς αὐτὸν ὑπεξαγαγόντες τῆς βασιλίδος

16 ἀποστασία Λέοντος τοῦ Τορνίκη (τ. τορνικίου λέοντος C) CE καὶ ὅσα ἐν αὐτῇ ἐπράχθησαν E

3 καταφροητικῶς p* 4 τορνίκιον Owp τῆς ἀδελφῆς om. D 6 τῇ . . ἡγεμονίᾳ διαφερόντων] v. ad XVI 10, 6 9 ἧπερ ἐν ἐλπίσι πρὸς μέγα τύχης αὐτὸν (ex αὐτοῦ corr. C) ἐξῆρεν BC ἐξῆρεν αὐτὸν D 12 τορνικίω BC(wp) 13 καὶ om. D ῥάκος RwpDi, ῥᾶκος AD, ῥάκκος B 14 νομίζω D 16 sub ἀφῆκεν (fol. 447r extr.) atramento pallido eique, quo manus prior utitur, simili additae sunt litterae Ch. R. in B 17 εἴρηται] XVII 23, 3 ἐπ' om. D 17. 18 θάλποντες ante ἐπ' BC

frequentabat regiam et superbe cum fratre agebat, si quando
9 accesserat, eum arguens et obiurgans et eius ob illa iracundiam
10 per contemptum silentio dissimulans. Rex vero sincerum illum sororis erga Tornicen affectum graviter molesteque ferens, ut eos longe seiungeret, Tornicen Iberibus Romanae ditionis praefecit,
11 relegatione specioso titulo obumbrata. Cum igitur ille abiret neque tamen fama eum spe magnae fortunae prosequi desisteret, quidam inde ansam arripuerunt eius apud regem calumniandi.
12 Quorum verbis commotus ille Tornicae comam tondet, se spem eius una detonsurum ratus, nigramque lacernam induit, quasi eo colore tenebras offusurus exspectato illi fortunae splendori; ita reversum adeo non est miseratus, ut cachinno etiam pro-
13 sequeretur abeuntem. Macedones vero prius etiam, ut dictum est, illi viro addicti ac bene de eo sperantes eum noctu ex urbe

*τῶν πόλεων ἐς τὴν αὐτῶν μητρόπολιν ἄγουσι τὴν Ἀδριανού-
πολιν, καὶ σπουδῇ τῶν προστεθειμένων αὐτῷ ταχὺ τὰ πλείω
τῶν στρατευμάτων ἐκεῖ συνηθροίσθησαν ἢ καὶ μίσει τῷ πρὸς
τὸν αὐτοκράτορα. διά τινας γὰρ αἰτίας οὔτ' ἐκεῖνος καλῶς* 14
*τοῖς στρατιώταις ἐκέχρητο, ἀλλὰ καὶ ὑποψίας ὑπέτρεφε κατ'
αὐτῶν, κἀκεῖνοι διὰ ταῦτα πρὸς ἔχθος κατ' αὐτοῦ ἠρεθίζοντο.
ὡς δ' οὖν συνελέγησαν, εὐφημίας αὐτὸν αὐτίκα βασιλικῆς καὶ* 15
ἀναρρήσεως κατηξίωσαν. ὁ δὲ σὺν αὐτοῖς εὐθὺς ἔργου εἴχετο 16
*καὶ ἀθρόον τῇ βασιλευούσῃ ἐπιφοιτᾷ, καί οἱ προσιόντι προσ-
εφοίτων πολλοὶ καὶ στρατιῶται καὶ ἀστικοί· κἀκεῖνος ταῖς ἐλ-* 17 B
*πίσιν ᾐώρητο, ὡς οὔτινος αὐτῷ ἀντιστησομένου, ἀλλὰ μᾶλλον
ἀναπετασόντων αὐτῷ εὐπετῶς καὶ τὰς πύλας τῆς πόλεως, ὅτι
τε τὰ ἑῷα στρατεύματα πολέμοις ἐκεῖ προσησχόλητο καὶ ὅτι*
IV 165 *καὶ οἱ τῆς πόλεως δι' ὀργῆς ἐποιοῦντο τὸν αὐτοκράτορα, ὡς
δή τι μὴ κατὰ γνώμην αὐτοῖς προσφερόμενον. τοιαύταις οὖν* 18
*αἰωρούμενος ταῖς ἐλπίσι στρατοπεδεύεται πρὸ τῆς πόλεως, πο-
λιορκήσων αὐτήν, εἰ μὴ δέχοιτο ἑτοιμότατα. ἕωθεν οὖν παρα-* 19
ταξάμενος καὶ ἀγχοῦ τοῦ περιβόλου τῆς πόλεως γεγονὼς περὶ

1 *αὐτῷ* D   post *ἄγουσιν* add. *αὐτὸν* Rwp, *αὐτὸν εἰς* D . . *ἀδριαν.* om. C   2 *καὶ* AR, *ἢ* wp, *καὶ ἢ* mavult *Wo*   3 *τὸ* D, *τῷ* ex *τὸ* corr. C   4 *τινος* D   5 *ὑπερέτρεφε* p*   6 *ἐρεθίζοντο* B, *ἠρεθ* .... D   7 *συνελέγησαν* ...... *αὐτὸν* D   *βασιλικὴν* D   8 *ἔργου* Rwp*Di*, *ἔργον* A   9 *προσήκοντι* D   10 *ἀστικοὶ* AR, *ἀστυκοὶ* wp   10. 11 *ἐλπίσιν* ...... *ὡς* D   11 *ἀ* .... *σομένου* .... | *ἀλλὰ* D   12 *ἀναπετασμὸν* ex *ἀναπετασμάτων* mutat D   ante *καὶ* add. *τῶν ἀστῶν* BCwp   14 *καὶ* om. BC   15 *τι μὴ*] *τιμὴν* D   16 *πρὸ* om. D   17 post *δέχοιτο* add. *αὐτὸν* Rwp*Di*   18 ante *περὶ* add. *τοῦ* D

regia in metropolim suam Hadrianopolim abducunt, quo fau-
torum eius studio maxima pars exercituum convenit vel impe-
ratoris odio, qui ob causas quasdam milites non bene tractarat 14
et suspectos habebat, unde illis odio esse coeperat. Statim igitur 15
illuc congressi Tornicen faustis acclamationibus prosecuti regem
consalutarunt. Ille vero nulla mora rem cum suis aggressus 16
Cpolim subito invadit cumque multi ad eum tam milites quam
cives confluerent, in spem erigebatur neminem fore, qui sibi 17
resistere auderet, sed omnes portas urbis non gravatim aperturos,
tum quod orientales exercitus bellis ibi gerendis occupati, tum
quod cives imperatori irati essent, a quo aliter quam vellent ha-
berentur. Huiusmodi spe inflatus castra ante urbem ponit, op- 18
pugnaturus eam, nisi alacriter reciperetur. Mane igitur instructa 19
acie ad moenia urbis prope Blachernas progressus petit, ut
portae sibi aperiantur, custodibus ad id facinus magnis pollici-

τὰς Βλαχέρνας ἀνοῖξαί οἱ τὰς πύλας ἠξίου τοὺς ἔνδον, ὑπο-
C σχέσεσι τούτους πρὸς τὴν πρᾶξιν παραθαρρύνων λαμπραῖς.
20 τῶν δὲ μηδ' ἐπιστρεφομένων αὐτοῦ, ἀλλὰ καὶ χλευαζόντων
21 καὶ πρὸς ἐκεῖνον ἀποσκωπτόντων, ἐπεχείρει τῇ προσβολῇ. ἀντι-
παρετάττετο δὲ καὶ ὁ βασιλεὺς στρατιώταις ὀλίγοις καὶ ὄχλῳ
δημοτικῷ καί τισιν ἄλλοις ἀνδράσιν ἐνίων τῶν τῆς γερουσίας
θεραπεύουσι, τῶν πάντων οὐδ' εἰς ἀκριβῆ συναριθμουμένων
22 χιλιοστύν· καὶ τούτους πρὸ τοῦ περιβόλου στήσας τῆς πόλεως
ἀντιμετώπους τοῖς τοῦ τυράννου ᾤετο καταπλήξειν αὐτοῖς τὸ
23 ἀντίπαλον. καὶ αὐτὸς δὲ ὁ αὐτοκράτωρ ἔν τινι τῶν βασιλικῶν
D θαλάμων προβεβλημένῳ τῶν ἄλλων καὶ ἐπὶ τὸ πρὸ τῆς πό-
λεως ἐστραμμένῳ πεδίον καθῆστο βασιλικῶς, ἵν' ὁρῴη τοὺς
24 ἐναντίους καὶ ὁρῷτο αὐτοῖς. οἱ δὲ Μακεδόνες βωμολοχίας
ὄντες ἐθάδες, ἰδόντες τὸν βασιλέα, οἱ μὲν ἄντικρυς ἐξύβριζον
εἰς αὐτόν, οἱ δὲ καὶ χοροὺς συνιστῶντες μέλη τέ τινα σχεδι-
W III 201 άζοντες κωμῳδίας ὠρχοῦντο καὶ ᾖδον ταῦτα, τοῖς ποσὶν ἐπι-
25 κροτοῦντες τὴν γῆν. εἶτα τοῖς ἔξω τοῦ τείχους προβεβλημένοις
βασιλικοῖς μοίρας τινὸς ἐπελθούσης τῶν ἐναντίων, οἱ μὲν ἐπὶ
τὰς πύλας ὥρμησαν, οἱ δ' ἐπὶ τὴν τάφρον ἐνέπιπτον καὶ ἀπώλ-
26 λυντο. τοσοῦτον δ' ἅπασι τὸ δέος ἐγένετο ὥστε τούς τε τοῖς

1 ἠξίου RwpDi, ἠξίουν A 2 λαμπραῖς ἐκκαλούμενος BC 4 ἀντι-παρετάττετο RwpDi, ἀντεπαρετάττετο AB 7 θεράπουσι RwpDi συναριθμένων D, ἀριθμουμένων C 8 χιλιοστύν RwpDi, χιλιο-στήν et -στύν per dittogr. A, χιλιοστήν D 9 τοῖς om. D κατα-πλήξει D 10 τι B, corr. Bw 11 τὸ] τῷ D 12 πεδίω D 15 τίνα w*p invitis AR 18 βασιλικῆς BD 19 ἀνέπιπτον D 20 τοῖς om. D

20 tationibus invitatis. Qui cum eum et neglegerent prorsus et
21 deriderent et dicteriis incessérent, oppugnationem instituit. Rex
vero cum paucis militibus urbanaque multitudine et aliis quibusdam viris, senatus ministris, qui omnes vix milliarium nume-
22 rum explebant, defensionem parat. Quos cum pro moenibus
tyranni militibus opposuisset, putabat se terrorem adversariis
23 incussurum; atque ipse imperator in quodam regio conclavi
prominente ante cetera et spectante ad campum ante urbem
situm pro maiestate sedebat, ut hostes cerneret et cerneretur
24 ab iis. Macedones vero scurrilitati assueti conspectum regem
partim palam contumeliis insectabantur, partim choris institutis
comicas quasdam cantilenas ex tempore canebant et saltabant
25 pedibus terram pulsantes. Tum immissa hostium cohorte in regios, qui extra moenia obiecti erant, homines partim ad portas,
partim ad fossas compulsi sunt, in quas praecipitati perierunt.
26 Qua re tanta formido omnibus incessit, ut etiam ii, qui in moe-

τείχεσιν ἐφεστῶτας ἑαυτοὺς ἐκ τούτου καταβάλλοντας φεύγειν καὶ τοὺς τὰς εἰσόδους φρουροῦντας τῆς πόλεως φρούδους αὐ-
D IV 166 τίκα γενέσθαι, μηδὲ τὰς πύλας ἐπιζυγώσαντας. εἰ οὖν εἶχεν 27
ὁ τότε πόλεμος τὸν εἰδότα νικᾶν, οὐδὲν ἦν τὸ κωλῦον εὐθὺς P II 253 A
τὸν Τορνίκην ἐντὸς γενέσθαι τοῦ ἄστεος καὶ τέλος ἐπιθεῖναι τῷ ἐγχειρήματι. ἀλλὰ τοῦτο μέν, ἐπεὶ μὴ τῇ ἄνωθεν ἐδέδοκτο 28
διοικήσει, τὸν τυραννοῦντα διέφυγεν. ὁ δέ γε βασιλεὺς μικροῦ 29
ἂν ἐκινδύνευσε· τῶν γάρ τις ἐναντίων τόνδ' ἐπιτοξάζεται καὶ βέλος ἀφίησι κατ' αὐτοῦ, τὸ δ' ἀτευκτῆσαν τοῦ βασιλέως βάλλει μειράκιόν τι τῶν θαλαμηπολούντων. ἀλλ' οὐδ' ἐκείνῳ καιρία 30
γέγονεν ἡ ἐκ τοῦ βέλους πληγή· οἵ γε μὴν περὶ τὸν βασιλέα δείσαντες αὐτίκα μετέστησαν, κἀκεῖνος αὐτὸς ἄλλοσέ πῃ τὸν θῶκον μετήνεγκεν. ὃν δ' εἴρητο τρόπον διαφυγεῖν τὸν Τορ- 31
νίκην τὸ εὐτύχημα, εἰς τοὐναντίον αὐτῷ τὰ πράγματα περιέτρεψεν. ἥ τε γὰρ πόλις αὖθις ὑπὸ φρουρὰν ἐγεγόνει καὶ ὁ 32 B
τύραννος αὖθις ἕωθεν προσβαλὼν καὶ ἀποκρουσθεὶς παρὰ βραχὺ καὶ ἀπώλετο ἄν. λίθων γὰρ ἐκ μηχανῆς ταλαντιαίων 33

1 τούτων O καταβαλόντας D 2 φρορoῦντας D 3 ἐπιζυγώσαντες D γοῦν Ewp 4 πόλεμος RwpDi, πολέμιος A, πόλεμος ex πολέμιος corr. B ante ἦν add. ἂν D κωλῦον DDi, κωλύον ARwp εὐθὺς om. D 5 τορνίκιον BCEwp 8 τῷδ' D; sed sicut est Zonarae ἐπιπλήττειν τινά (XIII 15, 12), ita ἐπιτοξάζεσθαι cum accusativo potest coniungi 10 θαμηπολούντων D 11 οἵ γε μὴν] οἱ δέγε Ewp post μὴν add. οἱ D 12 ἄλλοσέ RwpDi, ἄλλος σέ A 12. 13 τὸν θῶκον μετήνεγκεν AE (τὴν καθέδραν διήμειψε Psell. p. 156, 17), σὺν (om. Di) τῷ θώκῳ μετήνεκτο OwpDi 13 εἴρηται RwpDi διαφυγεῖν τὸν τορνίκην A, τὸν τορνίκιον διαφυγὸν Ewp, διαφυγὼν (διαφυγὸν ex διαφυγὼν corr. B) τὸν τορνίκιον O, διαφυγὸν τὸν τορνίκην Di 16 αὖθις AE, πάλιν Owp

nibus stabant, desilientes fugerent et qui aditus urbis custodiebant, illico evolarent e conspectu ne portis quidem clausis.
Quodsi bellum illud virum habuisset utendi victoria peritum, 27
nihil Tornicen ab urbis ingressu vel exsecutione conatus sui prohibuisset. Sed eam occasionem, cum deo aliter visum esset, 28
tyrannus amisit. Rex tamen periculo proximus fuit; nam hostis 29
quidam emissa contra illum sagitta ipsum quidem regem non perculit, sed adulescentem cubiculi magistrum, ac ne illi quidem vulnus mortiferum inflixit. Tamen satellites territi statim reces- 30
serunt et ipse imperator sellam alio transtulit. Sed felicitas, quam 31
ab Tornice ita neglectam esse exposuimus, rem in contrarium vertit. Nam urbe denuo custodiis munita, tyrannus mane rursus 32
impetu in moenia facto repulsus est nec multum afuit, quin ipse periret. Nam cum ex machina saxa talenti pondere in hostes 33

σφενδονουμένων κατὰ τῶν ἐναντίων, εἷς ἐπὶ τὸν τύραννον ἵετο καὶ τοῦ μὲν οὐ καθίκετο, δειλίαν δὲ κἀκείνῳ καὶ τοῖς περὶ αὐτὸν ἐνεποίησε, καὶ λύσαντες τὴν παράταξιν ὑπενόστησαν εἰς τὴν σφετέραν παρεμβολὴν καὶ οὐκέτι τῇ πολιορκίᾳ ἐπικεχει-
34 ρήκασιν. ἀλλά τινας βραχείας ἡμέρας προσμείνας ὁ τυραννῶν, ἐπεὶ ἑώρα τοὺς μὲν τῶν οἰκείων προσχωροῦντας τῷ βασιλεῖ, τοὺς δὲ σκιδναμένους καὶ ἐκδιδράσκοντας, ἀπανίσταται μὲν τῆς περὶ τὸ ἄστυ προσεδρείας, ἀπῄει δὲ ὡς εὐπετῶς τῶν Θρᾳκῴων
C 35 κρατήσων φρουρίων, ἀλλ' ἀπεκρούσθη κἀκείνων. ἐν τοσούτῳ δὲ παρῆσαν αἱ τῆς ἑῴας δυνάμεις ἀνακεκλημέναι παρὰ τοῦ
36 αὐτοκράτορος καὶ κατὰ τοῦ τυραννοῦντος ἀφείθησαν. οἱ δ'
αὐτῷ τὴν ἀποστασίαν συγκροτοῦντες ὡς ἔγνων τοῦτο, δείσαντες D IV 167
περὶ σφίσιν, ἀλλὰ καὶ τοῦ τῶν ἑῴων ταγμάτων ἐξάρχοντος παραστρατοπεδευσαμένου τοῖς ἀποστάταις καὶ τοὺς μὲν ὁμιλίαις, τοὺς δὲ καὶ γράμμασι πείθοντος αὐτομολῆσαι τῷ αὐτοκράτορι, πάντες σχεδὸν λιπόντες τὸν τυραννήσαντα προσήνωντο τοῖς βασιλικοῖς, καὶ οὐ τῶν ἀσήμων μόνον ἦσαν οὗτοι στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπιφανῶν καὶ ἐστρατηγηκότων καὶ λαμπρυνθέντων ἀρχαῖς, ἑνὸς μόνου τῶν ἐπισήμων παραμεμενηκότος αὐτῷ τοῦ
D 37 Βατάτζη. ὡς δ' οὖν ἐγκατελείφθη πρὸς τῶν λοιπῶν ὁ Τορ-

3 ἐνεποίησε RwpDi, ἐνεποίησεν A (v. ad XIII 1, 5), ἐποίησε B 4 πολιορκίᾳ] ὀρκία deleto antecedente παρεμβολῇ E (oblitus est scriba addere pro deleto verbo πολι et exstinguere spiritum vocabuli sequentis) προσήδρευσαν O 5 τύραννος Ewp 8 προσεδρίας Ewp, v. ad XVI 8, 18 14 στρατοπεδευσαμένου C, corr. Cw 16 ἀπολιπόντες Ewp 17 μόνων Ewp, v. ad XIV 6, 31 οὗτοι om. D 20 τορνίκιος Rwp

emitterentur, unum in ipsum directum aberravit illud quidem, sed et ipsi et eius satellitibus tantum incussit terrorem, ut dissi-
34 pata acie in castra reversi ab oppugnatione desisterent. Paucos igitur dies ibi commoratus tyrannus cum ex suis alios ad regem deficere, alios dispergi et aufugere videret, relicta urbis obsidione castella Thraciae se facile occupaturum ratus ab illis quoque
35 repulsus est. Interea copiae orientales ab imperatore revocatae
36 adsunt et contra tyrannum mittuntur. Quo defectionis socii cognito sibi metuentes, cum orientalium quoque legionum dux castra prope illos posuisset et alios colloquiis, alios litteris impulisset, ut ad imperatorem transfugerent, fere omnes deserto tyranno cum regiis se coniunxerunt, neque ii gregarii tantum milites, sed etiam viri illustres, duces et magistratus, uno quidem
37 ex insignioribus Batatze ab illo non deficiente. Tornices igitur ab omnibus destitutus, nulla spe evadendi relicta, cum Batatze

νίκης καὶ πάντοθεν αὐτῷ ἄφυκτος ἦν ἡ κατάληψις, θείῳ ναῷ
προσπεφεύγασιν αὐτός τε καὶ ὁ Βατάτζης. ἐκεῖθεν δὲ πεδῆται 38
τῷ Μονομάχῳ προσήχθησαν· ὁ δὲ στέρησιν ἀμφοῖν καταψη-
φίζεται τοῦ φωτός, καὶ τοῖς μὲν ἐσβέσθησαν εὐθὺς οἱ λύχνοι
τοῦ σώματος, ἡ δ' ἀποστασία διελέλυτο τέλεον.

Μέχρι μὲν οὖν τοῦδε μάχας ἐμφυλίους ὁ λόγος διηγησά- 24
μενος μεταβήσεται νῦν πρὸς μάχας βαρβαρικάς. προκείσθω 2
δὲ τῶν ἄλλων τῶν Ῥῶς ἡ ἐπέλευσις. τοῦτο τὸ ἔθνος καὶ
ἄλλοτε πλειστάκις κατὰ Ῥωμαίων ἐγένετο, ἡττηθὲν δὲ τέλος
καὶ σπονδὰς πεποίητο πρὸς Ῥωμαίους καὶ κῆδος, ἵνα διὰ τὴν
ἀγχιστείαν πρὸς ὁμόνοιαν τὰ γένη συνδέοιτο, καὶ παρ' ἀλλήλους
ἐφοίτων ἐμπορευόμενοι. ἦσαν γοῦν καὶ τότε Ταυροσκύθαι 3 P II 254 A
πολλοὶ παρὰ τῇ Κωνσταντίνου, τὰ ἑαυτῶν ἀποδιδόμενοι καὶ
τὰ παρ' ἡμῖν ἐξωνούμενοι. συνέβη δέ τισι τῶν Σκυθῶν ἔριν 4
γενέσθαι πρὸς Ῥωμαίους τινάς, πληγαὶ δ' ἐπηκολούθουν ταύτῃ
καὶ τραύματα, τοῖς δὲ παρείποντο θάνατοι καὶ τοῖς θανοῦσι W III 202
καὶ εἷς τις τῶν ἐπισήμων παρ' αὐτοῖς συνηρίθμητο. τοῦτο 5
D IV 168 *τῷ τῆς χώρας ἄρχοντι πρόφασις τῆς καθ' ἡμῶν συγκινήσεως*

2 *ὅτι ἐτυφλώθησαν ὁ Τορνίκιος καὶ ὁ Βατάτζης* CE   7 *περὶ τῶν Ῥῶς κατὰ τῆς βασιλίδος τῶν πόλεων ἐπελεύσεως* C

1 *ἦν*] *αὐτῷ* D (ex antecedentibus perperam repetitum)   2 *προσπεφεύκασιν* p*   *πε|δῆτας* D   6 *μὲν οὖν*] *γοῦν* D   *μάχας* in rasura C (antea videtur fuisse *λόχους*)   8 *ῥὼς* B^{s}DEwp*Di*   9 *ἄλλω τε* D   9. 10 *καὶ* ante *τέλος* C   11 *πρὸς ὁμόν.* om. C   12 *οὖν* Ewp   13 ante *ἑαυτῶν* add. *παρ'* Rwp   13 *ἀποδιδρόμενοι* p*   14 *ἡμῶν* D   *ἀντωνούμενοι* BCwp   *δέ*] *γοῦν* D   15 *τινὰ* B   *ἐπηκολούθουν* AR, *ἐπηκολούθον* w*, *ἐπηκόλουθον* p*   17 *τοῦτο* Rwp*Di*, *τούτω* A   18 *πρόφασις* (*πρόφασιν* D) ante *τῷ* O   *καθ' ἡμῶν* post *συγκινήσεως* Ewp   *συγκινήσει* D

in templum quoddam confugit. Unde ad Monomachum compe- 38
dibus vincti perducti atque effossis oculis caecati sunt, seditione
penitus compressa.

24. Hactenus intestina bella commemoravimus, nunc ad
externa se convertat oratio; ac Russorum imprimis expeditio 2
narretur, quae gens cum alias quoque saepissime Romanos aggressa esset, victa erat. Tandem foedere icto et affinitate iuncta,
utrumque populum devincire studuerunt et commercia inter se
agitabant. Cum autem tunc multi Tauroscythae Cpoli merces 3
suas venderent et nostrates commercarentur, accidit, ut inter quos- 4
dam Scythas et Romanos contentione orta a pugnis ad vulnera,
a vulneribus ad caedes fieret progressio et inter ceteros illustris
quidam Scytha caderet. Ex eo Russorum princeps occasione 5

γέγονε, καὶ αὐτίκα πλοῖα συμπηξάμενος, ἃ παρ' αὐτοῖς μονό-
ξυλα λέγονται, σφόδρα πολλὰ καὶ τούτοις ἐμβιβάσας πλῆθος
ὑπερεκπῖπτον σχεδόν τι καὶ ἀριθμόν, ἀκήρυκτον Ῥωμαίοις ἐπ-
6 *έσεισε πόλεμον καὶ γίνεται τῆς Προποντίδος ἐντός. ὡς δ' ἔγνω*
τὴν ἐπέλευσιν ὁ κρατῶν, στέλλει παρ' αὐτοῖς τοὺς πρεσβεύσοντας
B *καταθέσθαι τὰ ὅπλα σφᾶς, ὡς ἑτοίμως τοῦ βασιλέως, εἴ τι γέ-*
7 *γονεν αὐτοῖς πρὸς λύπην, ἐξιασομένου καὶ θεραπεύσοντος. ὁ*
δὲ βάρβαρος ὑπερηφάνως τε τοὺς πρέσβεις ἐδέξατο καὶ λόγους
μεγαλαύχους καὶ σοβαροὺς ἐξηρεύξατο καὶ ἀτίμως αὐτοὺς ἀπε-
8 *πέμψατο. ἀπογνοὺς τοίνυν τὰς σπονδὰς ὁ κρατῶν καὶ αὐτὸς*
πρὸς ναυμαχίαν παρεσκευάζετο, καὶ ἐπεὶ μὴ ἔτυχε τὸ ναυτικὸν
ἐνδημοῦν, πορρωτάτω δ' ὂν φυλακαῖς χωρῶν προσησχόλητο,
τριήρεις τινὰς καὶ ὁλκάδας ἄλλας ἑτοιμασάμενος καὶ ταύταις
τὸ πῦρ τὸ ὑγρὸν ἐνθέμενος ἄφθονον ἀντέταξε ταύτας τοῖς σκά-
φεσι τοῖς βαρβαρικοῖς, καὶ αὐτὸς ὁ κρατῶν παρὼν καὶ ἄνω
C 9 *που τοῦ λιμένος καθήμενος. ὡς δὲ τὸ πολὺ τῆς ἡμέρας παρ-*
ῆλθε καὶ ἠρέμουν οἱ βάρβαροι καὶ τὴν σύνταξιν οὐ διέλυον,
τρεῖς τῶν τριηρῶν ἐκέλευσεν ὁ βασιλεὺς τῷ Θεοδωροκάνῳ λα-
βεῖν καὶ ἀκροβολίσασθαι κατὰ τῶν βαρβάρων, ἵν' αὐτοὺς εἰς
10 *πόλεμον ἐπισπάσηται. ὁ δὲ οὐκ ἀκροβολισμοῖς ἐπεχείρησεν,*

10 *ναυμαχία κατὰ τῶν Ῥῶς καὶ ἧττα αὐτῶν* C

3 *ὑπερεκπίπτον* ARwp, corr. *Di* *ἀριθμῷ* D 11 *παρεσκευάσατο* C *μὴ* Rwp*Di* (cf. Psell. p. 145, 9), om. A 14 *τὸ* et ante et post *πῦρ* om. D *ἀντετάξατο* D *ταύταις* C 15 *αὐτοκράτωρ* Rwp 16 *τοῦ* om. D 17 *καὶ τὴν*] *τὴν δὲ* O 18 *τριηρῶν* ARwp, *τριῶν* D, *τριήρων* *Di*, v. ad XV 8, 4 20 *δὲ* ARw, *δ'* p**Di*

sumpta, statim plurimis navigiis compactis, quae apud eos mo-
noxyla vocantur, multitudine, quae omnem prope numerum ex-
cedit, iis imposita, in Propontidem penetrat bellumque Romanis
6 non ante indictum infert. Quos ubi imperator adventare cogno-
vit, missis legatis petit, ut arma deponant, regem paratum esse,
7 si quid molesti iis accidisset, satisfacere. At barbarus legatos
superbe excepit eosque insolentibus et molestis verbis eructatis
8 cum ignominia dimisit. Imperator igitur pace desperata et ipse
bellum navale parat et quia classis longissime aberat tutandis
provinciis occupata, triremes alias et onerarias naves, plurimo
Graeco igni imposito, adversus classem barbarorum mittit atque
9 ipse in summo portu considit. Ut autem magna diei parte elapsa
barbari quiescebant neque aciem solvebant, Theodorocanum iubet
rex cum tribus triremibus lacessere barbaros et ad pugnam
10 elicere. Neque vero ille coepit velitari, sed pugnam plane est

ἀλλὰ καθαρᾷ ναυμαχίᾳ καὶ τινὰ μὲν σκάφη βαρβαρικὰ κατ-
έφλεξε τῷ διύγρῳ πυρί, τινὰ δὲ κατέδυσεν αὔτανδρα, ἓν δὲ
κατέσχεν ἔνδον αὐτὸς εἰσπεπηδηκώς, καὶ οὓς μὲν τῷ ξίφει
συγκόψας, οὓς δὲ καταπλήξας καὶ δεσμίους ὥσπερ τῷ δέει
παρειληφώς. ὡς δ' οὕτω ταῖς τρισὶ τριήρεσι κατευτυχήθη ἡ 11
D IV 169 *κατὰ τῶν ἐναντίων ἐπέλευσις καὶ ἄλλαις τῶν ὁλκάδων σύνθημα*
παρέσχεν ὁ βασιλεύς, καὶ ἀνήγοντο πλείονες· ἃς ὁρῶντες ἐπ- D
ιούσας οἱ βάρβαροι οὐκέτι μάχης ἐμέμνηντο, ἀλλὰ τὴν σύνταξιν
διαλύσαντες πρύμναν ἐκρούσαντο καὶ ὡρμήκεσαν εἰς φυγήν.
συνεμάχησε δὲ Ῥωμαίοις τότε καὶ ἄνωθέν τις ῥοπή· πνεῦμα 12
γὰρ ἐξαίφνης σκληρὸν πνεῦσαν ἐξ ἑῴας πρὸς τὰ ἑσπέρια καὶ
καταιγίδα κινῆσαν τοῖς τῶν βαρβάρων ἐπήνεκτο σκάφεσι καὶ
πολλὰ μὲν ἐπέκλυσε καὶ τῷ βυθῷ παραδέδωκε, πολλὰ δ' ὑφ-
άλοις πέτραις καὶ σκοπέλοις προσήραξε καὶ συνέτριψε. τὰ δέ 13
γε τούτων πληρώματα, τοὺς μὲν τὸ ὕδωρ ἐκάλυψε, τοὺς δὲ
σύνταγμα στρατιωτικὸν ἐφεδρεῦον ταῖς ᾐόσι διέφθειρεν. οὕτω 14
δὲ καταπολεμηθέντος τοῦ τῶν βαρβάρων πλήθους ὁ βασιλεὺς
τροπαιοφορῶν εἰς τὰ ἀνάκτορα ἐπανέζευξεν.

Εἷς μὲν δὴ πόλεμος βαρβαρικὸς οὑτοσὶ δεδιήγηται, εἰρή- 25 P II 255 A

19 *ὅπως οἱ Τοῦρκοι κατὰ τῆς ὑποκειμένης* (*ἐπικ.* E) *Ῥωμαίοις ἑῴας μοίρας ἐχώρησαν* (*χώρας ἑῴας ἐστράτευσαν* E) CE *καὶ τίνες οὗτοι* C

1 *ἀλλὰ ἀκριβεῖ* B, *ἀλλ' ἀκριβεῖ* CD 2 *τινὰ*] *ἄλλα* D 3 *συνέσχεν* O *εἰςπεπεδηκὼς* w*p 5 *κατειληφὼς* D 6 *κατὰ* om. C 8 *σύναξιν* D 11 *ἐξ ἑῴας* om. D *εἰς* B 12 *ἐπήνεχθο* p* 14 *προςήρραξε* ARwp, corr. *Di*, v. ad XIII 7, 8 15 *τοὺς μὲν*] *τὰ μὲν* D *ἐκάλυψε* w*p 16 *ἠιόσι* ARBw, *ἠόσι* BD, *ἠίοσι* w*p post *διέφθειρεν* add. *ἐκβρασσομένους* (*ἐκβρασσομένου* C) *τοῦ κλύδωνος* BCwp 18 *τροπαιοφόρος* BC ut Psell. p. 147, 5 19 *βαρβαρικὸς* rasura ex *βαρβάρων* corr. B, om. D *οὑτοσὶ* AR, *οὑτωσὶ* w*p, *ὁ τῶν ταυροσκυθῶν* BC*Wo* lat.

auspicatus et Graeco igni aliquot naves barbarorum cremavit, alias una cum viris demersit unamque comprehendit, in quam ipse insiluit, aliis caesis, aliis perterrefactis et metu quasi con-
strictis. Tribus triremibus feliciter ista ausis, signo a rege dato 11
plures onerariae solvunt; quibus barbari conspectis, pugnae immemores, soluta acie in fugam conversi paullatim recesserunt,
Romanis in ea pugna divinitus etiam adiutis; nam subito pro- 12
cella orientalis coorta, fluctibus occidentem versus ingentibus in barbarorum naves devolutis, multas submersit, multas rupibus
et scopulis occultis illisas comminuit. Vectores autem partim 13
undae absorpserunt, partim milites occupatis litoribus trucidarunt.
Barbarorum multitudine ad hunc modum debellata, rex victoria 14
illustris in regiam revertitur.

25. Exposito hoc uno barbarorum bello, ad alterius gentis

*σθω δὲ καὶ ἑτέρα τις συγκίνησις ἔθνους, ἣ τότε τὴν ἑῴαν
διέλαβε καὶ μέχρι τοῦ νῦν αὐτὴν ἐπιβόσκεται, τοὺς Τούρκους
2 φημί. εἰσὶ μὲν οὖν οὗτοι γένος τι Οὐννικὸν οἰκοῦν τὰ προσ-
άρκτια τῶν Καυκασίων ὀρῶν, πολυπληθὲς καὶ αὐτόνομον.
3 ἐπεὶ δ' ἡ Περσῶν ἀρχὴ ἢ μᾶλλον ἡ Μακεδόνων, ἣ τὴν Περ-
σῶν βασιλείαν καθεῖλεν, ὑπὸ Σαρακηνῶν καθῄρητο, εἶτα καὶ
οὗτοι πρὸς ἀλλήλους στασιάσαντες εἰς ἀντιπάλους μοίρας διῄρηντο
B καὶ ἀλλήλοις ἐμάχοντο, Μουχούμετ ὁ τοῦ Ἰμβραήλ, Περσίδος
ἄρχων καὶ Χορασμίων καὶ Μηδίας καί τινων ἄλλων, πόλεμον
ἤρατο κατὰ τοὺς χρόνους Βασιλείου τοῦ βασιλέως κατὰ Βα-
βυλωνίων τε καὶ Ἰνδῶν, ἡττώμενος δὲ συμμαχικὸν ἐκ Τούρκων
W III 203 4 μετεπέμψατο· ἦν δὲ τοῖς εἰς συμμαχίαν ἐλθοῦσι τῷ Μουχούμετ
5 στρατηγὸς Ταγγρολίπιξ Μουκάλετ. σὺν τούτοις ὁ Μουχούμετ* D IV 170
*τοῖς ἀντιθέτοις προσβαλὼν τροποῦται αὐτοὺς καὶ ἀναζεύξας εἰς
τὰ οἰκεῖα οὐκ εἴα τοὺς Τούρκους εἰς τὴν ἑαυτῶν ὑποστρέψαι,*

1 *ἔθνους συγκίνησις* BC 2 *τόρκους* B 3 *οὐννικὸν* AE Cedr. (Scylitz.) II p. 566, 15, *οὐνικὸν* O, *οἰννικὸν* wp*Di* 3. 4 *οἰκοῦν* post *ὀρῶν* D 4 *δρῶν* AR, *ὀρῶν* B[s]Cwp*Di* 5 post *ἡ* prius add. *τῶν* D 5 *ἢ μᾶλλον — 8 μουχούμετ*] *τῶν μακεδόνων ἐφ' ἑαυτοὺς* (*ἑαυτῶν* E) *τραπέντων, καὶ ἀντιμαχομένων ἀλλήλοις* (*ἀλλήλων* E) *ἴσχυσε πάλιν τὴν ἀρχὴν ἀνακτήσασθαι* (*ἀνασώσασθαι* Ewp), *ὡς ἔμπροσθέν μοι ἱστόρηται, τὸ* (*ἡ* Ewp) *δ' αὖθις ὑπὸ σαρακηνῶν τὴν ἐξουσίαν ἀφῄρητο καὶ δεδούλωτο* (*δεδούλωτό τε* Ewp), *οἵ δέγε σαρακηνοὶ* (*σαρακηνοῖς καὶ* Ewp) *οὐχ ὑφ' ἕνα ἦσαν ἡγεμόνα τελοῦντες, πρὸς ἀλλήλους* (post *ἀλλ.* add. *τὲ* w*p) *καὶ οὗτοι στασιάσαντες εἰς ἀντιπάλους μοίρας διῄρηντο καὶ ἀλλήλοις ἐπήεσαν· μουχούμετ οὖν* (om. E) BCEwp 9 *χωρασμίων* Ewp Cedr. l. c. p. 567, 4, *χοραμίων* D, v. ad XVII 25, 20 *μηδίας τὲ καὶ ἄλλων τινῶν* BC 10 *βασιλέως* AD Cedr. l. c. p. 567, 5, *πορφυρογεννήτου* Rwp 12 *προσεκαλέσατο* BC 13 *ταγματάρχης* BCE, *ταγμάρχης* w*p 13 *ταγκρολόπιξ* A, *ταγγρολίπιξ* Rwp*Di*, Tangrolipix: *Wo* lat. constanter, quae forma Cedreno (Scylitzae) quoque videtur esse reddenda *σὺν τούτοις* AD, *μεθ' ὧν* Rwp 15 *τὴν*] *τὰ* D

motum est transeundum, quae Orientem tum invasit et usque
2 ad hunc diem infestat, Turcos dico. Sunt autem ii gens quaedam
Hunnica populosissima ac libera, Caucasiorum montium septen-
3 trionale latus accolens. Nam cum imperium Persarum vel potius
Macedonum, quo Persarum regnum deletum est, a Saracenis
sublatum esset, iique inter sese dimicantes atque in factiones
divisi alii alios oppugnarent, Muchumetus, Imbraëlis filius, Per-
sidis, Chorasmiorum, Mediae, aliorum quorundam populorum prin-
ceps, temporibus Basilii regis cum suscepto contra Indos et Ba-
4 bylonios bello succubuisset, Turcorum auxiliis arcessitis Tangro-
5 lipice Mucaleto duce hostes superavit domumque reversus Turcos
ad sua redire non sivit, sed retinere volebat, quorum opera contra

ἀλλ' ἤθελε παρακατέχειν αὐτούς, ἵνα καὶ ἐφ' ἑτέρους χρῷτο
συμμάχοις αὐτοῖς. οἱ δὲ μὴ οἷοί τε ὄντες ἀπιέναι πρὸς τὴν 6
σφετέραν, εἰ μὴ αὐτοῖς ἀνεθείη ἡ τοῦ Ἀράξιδος γέφυρα (πο- C
ταμὸς δ' οὗτός ἐστιν εἰ μὴ διὰ τῆς γεφύρας οὐ περατός, ἡ
γέφυρα δ' ἐπεπύργωτο ἑκατέρωθεν, καὶ τοῖς πύργοις φρουροὶ
ἐφειστήκεισαν), ἀποστατοῦσι καὶ εἰς ὄρη καταφυγόντες (οὐ γὰρ
ἐθάρρουν ὄντες τρισχίλιοι πρὸς πολλὰς κατὰ συστάδην μαχέσα-
σθαι μυριάδας), ἐκτρέχοντες ἐκεῖθεν τὰ τῶν Σαρακηνῶν ἐλη-
ίζοντο. ἐκπέμπει τοίνυν κατ' αὐτῶν ὁ Μουχούμετ στρατεύματα 7
περί που τὰς εἴκοσι χιλιάδας, δέκα τῶν ὁμογενῶν ἀνδράσι τὴν
αὐτῶν ἐγχειρίσας ἡγεμονίαν. οἷς οἱ Τοῦρκοι νυκτὸς ἐπιθέμενοι 8
ῥᾷστα τοὺς πλείους κατέκοψαν. οἱ δὲ περισωθέντες σὺν τοῖς 9
αὐτῶν στρατηγοῖς εἰς τὸν Μουχούμετ ἀνθυπενόστησαν. ὁ δὲ 10 D
τοὺς μὲν δέκα τῆς στρατιᾶς ἡγεμόνας ἐξετύφλωσε, κατὰ δὲ
τῶν περισωθέντων στρατιωτῶν ἠπείλει διαθήσειν αὐτοὺς τὰ
χείριστα. οἱ δὲ δείσαντες τοῖς Τούρκοις προσέθεντο· ἤδη δὲ 11
καὶ ἄλλων αὐτοῖς προσρυέντων συχνῶν, δούλων τε κακούργων
λεηλασίαις χαιρόντων καὶ ἁρπαγαῖς, πολυπληθὲς ἐγένοντο στρά-
τευμα καὶ τῷ Μουχούμετ περὶ τὸ Ἀσπαχὰν συρρήγνυνται, καὶ

1 ἑτέροις Rwp 4. 5 ἡ δὲ γέφ. Ewp 6 ἐφειστήκεσαν Ewp 8 post ἐκτρέχ. spatium fere X litterarum in B 9. 19 μαχούμετ D 9 στράτευμα DEwp 11 πιστεύσας BC 12 πλείονας D 14. 15 κατὰ δὲ τῶν περισωθέντων στρατιωτῶν ARwp, τῶν δὲ στρατιωτῶν τοὺς περισωθέντας BC 15 αὐτοὺς om. BC 17 καὶ ἄλλων] βάλ λων D αὐτοῖς om. DEwp post τε add. καὶ RwpDi 18 λεηλασίας p* 19 τῷ μουχούμετ ante συρρήγν. BC ἀσπαχὰν AR, ἀσπαλὰν D, ἀπασχὰν Ewp, ἀσπαχᾶν Cedr. l. c. p. 569, 18

alios quoque uteretur. Qui cum domum redire nisi per Araxidis 6
pontem nequirent (fluvius is est, qui nisi ponte superari non
potest utrimque turrito, quem praesidiarii milites tenebant), de-
ficiunt et montes occupant (nam cum tribus milibus plures non
essent, cum multis milibus acie decernere non audebant), unde
procurrentes Saracenos praedantur. Muchumetus vero ad XX 7
milia contra eos mittit, decem ducibus e suis popularibus summa
belli credita, quos Turci noctu aggressi maxima ex parte facile 8
trucidarunt; reliquiae cum suis ducibus ad Muchumetum red- 9
ierunt. Is decem illis ducibus excaecatis et militibus supersti- 10
tibus atrocissima quaeque minatus effecit, ut metu deterriti illi ad
Turcos confugerent; ii vero iam aliis quoque confluentibus mul- 11
tis, servis et facinorosis hominibus, qui manubiis et rapinis gaude-
bant, numeroso exercitu confecto, proelio cum Muchumeto prope
Aspachan commisso, multos Saracenos ceciderunt atque inter

πολλῶν πεσόντων Σαρακηνῶν καὶ αὐτὸς ὁ Μουχούμετ ἀπ-
12 έθανεν. ὁμονοησάντων οὖν τῶν στρατευμάτων, παρὰ πάντων
ὁ Ταγγρολίπιξ τὴν ἀρχὴν τῶν ὑπὸ τὸν Μουχούμετ ἐνεχειρίσθη
13 χωρῶν. αἱρεθεὶς δ' εἰς ἡγεμονίαν, πέμψας τοὺς ἐν τῇ γεφύρᾳ
14 τοῦ Ἀράξιδος πύργους κατέβαλεν. οὕτω δ' ἀνεθείσης τοῖς D IV 171
P II 256 A Τούρκοις τῆς διόδου τοῦ ποταμοῦ, πολὺ τῶν βαρβάρων τού-
των πλῆθος προσερρύη τῷ Ταγγρολίπικι, καὶ χεῖρα βαρεῖαν
ἐκ τούτων ὁ τῶν Τούρκων κτησάμενος ἀρχηγὸς ἀφαιρεῖται μὲν
πάντοθεν τοὺς Σαρακηνοὺς τὴν ἀρχήν, ἑαυτῷ δὲ ταύτην καὶ
τοῖς ὁμογενέσιν ἀπένειμε καὶ εἰς ὑπηκόους τοὺς ἐκ τῆς Ἄγαρ
15 κατέστησεν. εἶτα αὐτὸς μὲν μάχῃ τοὺς Βαβυλωνίους προσ-
εκτήσατο, τὸν δὲ ἀδελφόπαιδα Κουτλουμοὺς σὺν στρατιᾷ κατὰ
16 τῶν Ἀράβων ἐξέπεμψεν· ὁ δὲ ἡττηθεὶς ὑπέστρεφε καὶ διαπρε-
σβεύεται πρὸς τὸν τῆς Μηδίας ἄρχοντα (οὕτω δ' ἐκαλεῖτο πάλαι
τὸ Βαασπαρκᾶν), αἰτῶν παραχωρηθῆναι διὰ τῆς χώρας αὐτοῦ
17 διελθεῖν. ὁ δὲ τῆς χώρας ταύτης ἐκ βασιλέως ἄρχειν προχει-
ρισθεὶς οὐ μόνον οὐκ ἀνῆκε τούτῳ τὴν δίοδον, ἀλλὰ καὶ ἀντ-
ετάξατο κατ' αὐτοῦ καὶ συμβαλὼν ἡττᾶται καὶ πολλοὺς μὲν

11 *ὅπως οἱ Τοῦρκοι* (*τούρκοι* CE) *ταῖς ὑπὸ Ῥωμαίους ἐπῆλθον χώραις* CE

1 post *πολλῶν* errore distinguunt wp *καὶ* add. ante *σαρακ.* Ewp *αὐτοῖς* D *διέφθαρτο* BCEwp 3 *ταγκρολόπιξ* A, *ταγκρολίπιξ* Ewp, *ταγγρολίπιξ* R*Di*, *ταγγρολίπις* D *ἐνεχείρισε* D 6 *τῆς*] *τοῦ* D 7 *ταγκρολόπικι* A, *ταγκρολίπικι* Ewp, *ταγγρολίπικι* O*Di* *βαθεῖαν* B 8 *ἐκ τούτων*] *ἐντεῦθεν* BC *τούτον* p* 10 *ὁμογενέσι* Ewp, v. ad XIII 1, 5 *ὑπένειμε* D *ἐκ* om. D 11 *βαβυλῶνας* E 13 *ἐξέπεμψε* DEwp, v. ad XIII 1, 5 *ὁ δὲ— ὑπέστρεφε* om. DE 14 *τῆς* om. D 15 *βαασπαρκᾶν* A, *βαασπρακᾶν* Ewp, *βαασπρακὰν* O Cedr. l. c. p. 5λ70, 20. 571, 15, v. ad XVII 25, 24 17 *τὸν δ.* p* 18 *συμβαλὼν* D

12 alios ipse quoque Muchumetus occisus est. Tangrolipix igitur
consensu exercituum imperio omnium gentium, quae Muchumeto
13 paruerunt, accepto, turres pontis Araxidis militibus missis evertit.
14 Fluvii transitu ita Turcis patefacto, magna horum barbarorum
multitudo ad Tangrolipicem se contulit; sic ille magnis copiis
adiutus omnibus Saracenis ademptum imperium in se et populares
15 suos transtulit et Agarenos sibi parere coëgit. Deinde Babyloniis
bello subactis, fratris filium Cutlumum cum exercitu contra Ara-
16. 17 bes mittit, a quibus superatus per legatos a principe, quem rex
Mediae (sic enim olim vocabatur Baasparcan) praefecerat, trans-
itum postulat, quem is adeo non concessit, ut armatus illi occur-

τῶν οἰκείων ἀπέβαλεν, ἥλω δ' αὐτός. ὁ γοῦν Κουτλουμοὺς 18 B
πρὸς τὸν Ταγγρολίπικα ἐπανελθὼν τὰ περὶ τοῦ κατὰ τὴν Μη-
δίαν διηγεῖτο πολέμου καὶ τῆς χώρας ἐξύμνει τὸ πάμφορον
καὶ προσετίθει εὐάλωτον εἶναι ταύτην, παρὰ γυναικῶν καρπου-
μένην, οὕτω καλῶν τοὺς μαχεσαμένους αὐτῷ. ὁ δὲ Ταγγρο- 19
λίπιξ αὐτῷ μὲν διὰ τὴν ἧτταν ἐμηνία, ἐκεῖνος δὲ κατὰ τῶν
Ἀράβων ἐχώρει. καὶ ὁ Κουτλουμοὺς δείσας ἀπέδρα μετὰ τῶν 20
σὺν αὐτῷ καὶ τὸ Πασάρ (πόλις δ' ἐστὶ τῶν Χορασμίων τουτί)
κατασχὼν ἀφίσταται τοῦ σουλτάν (οὕτω γὰρ ὁ Ταγγρολίπιξ
ὠνόμαστο) καὶ ἐπὶ πολὺ πρὸς τὸν θεῖον ἀντικαθίστατο πολιορ-
κοῦντα αὐτόν, διὰ δὲ τὴν τῆς πόλεως ὀχυρότητα μηδὲν ἀνύσαι
δυνάμενον. καὶ ὁ μὲν σουλτὰν τῇ πολιορκίᾳ τοῦ Πασὰρ προσ- 21
D IV 172 *ησχόλητο· στέλλει δὲ κατὰ Μηδίας Ἀσὰν σὺν ἀξιομάχῳ δυνάμει.* C
ὁ δὲ προσβαλὼν τῇ χώρᾳ καὶ συμμίξας Ῥωμαίοις, πίπτει μὲν 22
αὐτός, ἡττᾶται δὲ τὸ σὺν αὐτῷ στρατιωτικὸν καὶ βραχίστων
ἄτερ τὸ ἅπαν ἀπόλλυται. ὃ μαθὼν ὁ σουλτὰν ἠθύμησε μέν, 23
ἐπαναλαβεῖν δ' αὖθις ἔσπευδε τὸ δυστύχημα καὶ Ἀλὶμ Ἀβραμίῳ

1. 2 *ἐπανελθὼν οὖν ὁ κουτλουμοὺς πρὸς τὸν ταγγρολίπικα* BC 2 *ταγκρολόπικα* A, *ταγκρολίπικα* Ewp, *ταγγρολίπικα* O*Di* 3 *διηγεῖται* DEwp 5. 9 *ταγγρολίπιξ* AR, *ταγκρολίπιξ* wp 7 *κοτλουμοὺς* E 8 *πάσαρ* ARwp Cedr. l. c. p. 572, 2. 8, *πασὰρ* BC*Di*, v. ad vs. 12 *χωρασμίων* DEwp, v. ad XVII 25, 3 ante *τουτὶ* distinguunt Awp*Di*, post *τουτὶ* B[s]C *B-W* 10 *ἀνθίστατο* D 11 *αὐτόν* om. C *δὲ* om. C *ἀνῦσαι* D 12 *σουλτὰν* Rwp*Di*, *σουλτᾶν* A, v. ad XVII 25, 37. 38. 42. XVIII 11, 10. 12, 21. 13, 19. 14, 6. 27, 16, quibus locis praeter consuetudinem A utitur forma *σουλτᾶν* *πασὰρ* ARwp, *πασὰν* D 13 *ἀσὰν* ARw Cedr. l. c. p. 572, 13, *Ασαν* p, *Ἄσαν Di* 14 *ῥωμαίοις* Rwp*Di*, *ῥωμαίους* A 15 *αὐτός*] *αὐτοῦ* D 16 *πᾶν* Ewp*Di* 17 *ἀλὶμ* Rw*Di*, *ἄλιμ* A, *ἀλεὶμ* D Cedr. l. c. p. 575, 10, v. ad p. 638, 9. 19 cet. *ἀβραμίῳ* Ew Cedr. l. c. *Di*, *ἀβραμίω* ACD (de B nihil constat)

reret; sed multis suorum amissis victus et captus est. Cutlumus 18
autem ad Tangrolipicem reversus, Medicum proelium narrans
eius regionis fertilitatem celebrat, eam expugnatu facilem esse ad-
dit, ut qua mulieres fruerentur; sic enim appellabat eos, quibuscum
pugnaverat. Ceterum Tangrolipix illi ob cladem acceptam iratus 19
ipse contra Arabes proficiscitur. Cutlumus autem cum suis metu 20
commotus aufugit et Pasare, Chorasmiorum urbe, occupata a
sultano (sic enim Tangrolipix appellabatur) defecit et patruo, a
quo obsidebatur, diu restitit, ob loci munitionem frustra laboranti.
Qui sultanus ea obsidione occupatus contra Mediam mittit Asanem 21
cum iustis copiis. Is impetu in provinciam facto et proelio cum 22
Romanis commisso, ipse cadit, amisso praeter paucissimos toto
exercitu. Quo sultanus cognito sane doluit, sed damnum illud 23

ἑτεροθαλεῖ ἑαυτοῦ ἀδελφῷ στρατιὰν ἐγχειρίσας εἰς ἑκατὸν ἀρι-
W III 204 24 θμουμένην χιλιοστύας κατὰ Ῥωμαίων ἐξέπεμψεν. ὁ δὲ τοῦ
Βαασπαρκᾶν στρατηγὸς τῷ βασιλεῖ περὶ τούτων διὰ γραμμάτων
25 δεδήλωκε, συμμαχίαν αἰτῶν. καὶ ὃς τῷ Λιπαρίτῃ δυνάστῃ μοίρας
τῶν Ἰβήρων τυγχάνοντι ἐπέστειλε συνελθεῖν τοῖς Ῥωμαίοις καὶ
26 ἐπαρῆξαι κατὰ τῶν Τούρκων. τῶν Τούρκων δὲ ἐπιστάντων ἤδη,
D οἱ Ῥωμαῖοι πολεμῆσαι σφίσιν οὐκ ἔκριναν, εἰ μὴ ἑνωθεῖεν κατὰ
27 τὴν βασιλικὴν ἐντολὴν καὶ τοῖς Ἴβηρσιν. ἀτρεμούντων δὲ τῶν
στρατιωτῶν, μὴ δυνάμενος αὐτοῖς ὁ Ἀλὶμ συμβαλεῖν εἰς ὀχύ-
ρωμά τι προσκαθημένοις ἔπεισι τῷ Ἄρτζε (κωμόπολις δ' ἦν
τοῦτο, πληθὺς δ' ἐνῴκει αὐτῷ, ἵν' οὕτως εἴποιμι, καὶ ἀριθμὸν
ὑπερβαίνουσα, ἔμποροι δ' ἦσαν οἱ ἄνθρωποι, καὶ πλοῦτος ἦν
28 αὐτοῖς περιττός). ὡς γοῦν ἀτείχιστον τὴν κωμόπολιν ἐξ ἐφόδου
ἑλεῖν αὐτὴν οἱ βάρβαροι ἤλπιζον, ἀλλ' ἔγνωσαν παραβουκολού-
29 μενοι ταῖς ἐλπίσιν, ἐπείπερ ταύτῃ προσέβαλον. ταῖς γὰρ διόδοις
ὕλας ἐπαγαγόντες οἱ ταύτης κάτοικοι καὶ ταύταις αὐτὰς ἀπο-
φράξαντες, ἐκ τῶν δωμάτων ἔβαλλον τοὺς ἐναντίους καὶ ἀν-
30 ῄρουν πολλούς, καὶ τοῦτο ἐφ' ἡμέραις ἐγίνετο ἕξ. ὡς δ' ἔγνω
ὁ τῶν Τούρκων στρατηγὸς ὁ Ἀλὶμ ἐρρωμενέστατα τοὺς Ἀρτζη-

8 *περὶ τῆς κωμοπόλεως τοῦ Ἄρτζε* CE

2 *ἐξέπεμψεν* Rwp*Di*, *ἐξέπεμψε* A, v. ad XIII 1, 5 3 *βαασπαρκᾶν* A, *βαασπρακᾶν* Ewp, *βαασπρακὰν* O, v. ad XVII 25, 16 4 *ἐδήλωσε* DEwp 7 *ἐνωθεῖεν* p* 9 *ἀλὶμ* ARw, *ἀλεὶμ* D, *Ἀλὶμ* p, v. ad p. 637, 17 9. 10 *ὀχύρωμά τι*] *ὀχυρώματι* DE 10 *ἔπεισι* ex *ἔπεισε* | corr. A (fortasse manu recenti) 11 *εἴπω* BC 12 *ὑπερβαίνουσαν* D *ἄ|θρωποι* D 13 *περιττὸς αὐτοῖς* D *οὖν* DEwp *ἐφόβου* C, *ἐφόδου* corr. Cw 14 *αὐτὴν ἑλεῖν* DEwp *παραβουκολόμενοι* D 16 *ἔποικοι* BC *ἀποσφάξαντες* C, corr. Cw 17 *ἔβαλον* D 19 *ἀρχηγὸς* Ewp *ὁ ἀλὶμ* AEw(p), *ἀλεὶμ* D, om. R*Wo* lat.

resarcire cupiens Alimo Abramio, fratri ex altero parente, ex-
ercitum centum milium circiter contra Romanos ducendum com-
24. 25 mittit. Sed Baasparcanis praetor petitis a rege auxiliis, Lipa-
26 ritam, partis Iberiae dynastam, exspectabat neque cum Turcis
dimicandum sibi censebat, priusquam ex mandato regis Iberum
27 auxiliares copiae advenissent. Romanis igitur intra munitiones se
continentibus, Alimus negata pugnandi copia Artzem, oppidum
nullo muro circumdatum, quod mercatores paene innumerabiles,
28 homines divitissimi, incolebant, se primo impetu capturum ratus
29 spe sua frustratus est, cum illud invasisset. Nam incolae aditus
materia obstruxerunt et telis ex aedibus coniectis multos sus-
30 tulerunt. Qua re per sex dies facta, cum Alimus, Turcorum

νοὺς ἀντεχομένους καὶ πολιορκίᾳ ῥᾷστα μὴ ἁλωτούς, πυρὶ τῶν P II 257 A
ἀνδρῶν περιγενέσθαι διέγνωκεν· αὐτίκα τοίνυν ἀνῆπτο τοῦτο
D IV 173 καὶ τοῖς οἰκήμασιν ὑπεβάλλετο. ὡς δ' ἐξήφθη πανταχόθεν 31
πυρκαϊά, τρέπονται μὲν οἱ ἐγχώριοι, οἱ δὲ βάρβαροι κρατοῦσι
τῆς κωμοπόλεως καὶ πολὺν ἐν αὐτῇ χρυσὸν καὶ ἄλλον πλοῦτον
εὑρήκασιν, ὅσος μὴ κατηνάλωτο τῷ πυρί. ἐντεῦθεν αὖθις κατὰ 32
τῆς Ῥωμαϊκῆς ὡρμήκασι στρατιᾶς· ἤδη δὲ καὶ τοῦ Λιπαρίτου
σὺν τοῖς Ἴβηρσι παραγεγονότος, συμβολὴ τῶν στρατευμάτων
ἐγένετο περὶ βουλυτόν. ὁ μὲν οὖν Ἀλὶμ καὶ ὁ Χοροσάνης (ἕτε- 33
ρος δ' οὗτος ἦν στρατηγὸς τῶν βαρβάρων) μετὰ τῶν ὑπ' αὐ-
τοὺς τραπέντες ἐνέκλιναν εἰς φυγήν, καὶ σφᾶς οἱ ἀντιτεταγμένοι
Ῥωμαῖοι μέχρι πόρρω νυκτῶν κατεδίωκον. ὁ δὲ Λιπαρίτης 34 B
κατ' ἄλλο κέρας μαχόμενος ἑάλω τοῖς ἐναντίοις. ὡς δ' ἐπαύ- 35
σαντο τῆς διώξεως οἱ Ῥωμαῖοι, τὸν Λιπαρίτην προσέμενον, μὴ
εἰδότες ὃ περὶ ἐκεῖνον συμβέβηκεν. ἐν τοσούτῳ δέ τις αὐτοῖς 36
ἀγγέλλει τοῦ Λιπαρίτου τὴν ἅλωσιν, καὶ ὅτι λαβόντες αὐτὸν οἱ
ἑλόντες ἀπίασι σὺν σπουδῇ. οἱ μὲν οὖν Ῥωμαῖοι ταῦτα μα- 37
θόντες ἐν ἀθυμίαις ἦσαν· οἱ βάρβαροι δὲ τῷ σουλτὰν τὸν Λιπα-

7 *πόλεμοι* (*πόλεμος* E) *Ῥωμαίων συμμαχουμένων* (*συμμαχομένων Di*) *Ἴβηρσι πρὸς τοὺς Τούρκους* (*πρὸς—Τ.* om. E), *καὶ ἅλωσις τοῦ Λιπαρίτου τοῦ* (om. C) *ἄρχοντος τῶν Ἰβήρων* CE

1 *ἀντικαθισταμένους* BC post *καὶ* add. *τῇ* BC 3 *πάντοθεν* D 5 *τῆς κωμοπόλεως* AKCwwp, *αὐτῶν* BC 6 *κατανάλωτο* Ewp, *κατηνάλωται* B *τῷ* om. Ewp*Di* 6. 7 *αὖθις* post *ῥωμαϊκῆς* B 9 *Βουλυτόν* "ad Bulytum" p, *βουλυτόν* "sub vesperam" *Wo* lat., cf. Cedr. l. c. p. 579, 9 *ἀλεὶμ* D *Χωροσανίτης* (*χωροσάντις* cod. Coisl.) Cedr. l. c. p. 579, 10 11 *ἔκλιναν* D *ἀντιταγμένοι* D 18 *τῷ σουλτὰν* Rwp*Di*, *τὸν σουλτᾶν* A, v. ad XVII 25, 21

dux, Artzenos fortissime se defendere nec obsidione facile posse
capi intellexisset, igni eos superare instituit; quo aedibus iniecto,
cum incendium undique saeviret, civibus in fugam versis, barbari 31
oppido potiti multum auri et aliarum opum invenerunt, quas
flamma non absumpserat. Inde iterum contra Romanum exer- 32
citum properarunt; cum autem Liparites cum Iberibus iam ad-
esset, sub vesperam commisso proelio, Alimus et Chorosanes, 33
alter barbarorum dux, cum suis conversi fugerunt, Romanis eos
in multam noctem persecutis. Liparites vero in altero cornu 34
pugnans ab hostibus captus erat; quem dum Romani in castra 35
reversi diu exspectant casus illius ignari, quidam nuntiat captum 36
eum ab hostibus festinanter abduci. Quo cognito Romani in 37
maerore erant, barbari vero Lipariten ad sultanum perduxerunt.

38 ρίτην ἐκόμισαν. ὁ μέντοι βασιλεὺς μαθὼν τοῦ Λιπαρίτου τὴν
ἅλωσιν, πέμπει πρὸς τὸν σουλτάνον, ἐλευθερίας ἀξιῶσαι τὸν
Λιπαρίτην ζητῶν καὶ λύτρα τούτου πέμψας πολλὰ καὶ δῶρα
δὲ τῷ σουλτὰν καὶ σπονδὰς μέσον Ῥωμαίων καὶ Τούρκων
39 ζητῶν γενέσθαι. ὁ δὲ σουλτὰν τὸν μὲν Λιπαρίτην δῶρον στέλλει,
τὰ δέ γε λύτρα πάντα τῷ ὑπὲρ οὗ ἐπεπόμφεισαν δέδωκε καὶ
40 μηκέτι ὅπλα κατὰ Τούρκων ἄρασθαι παρηγγύησεν. ἐκπέπομφε
C δὲ κἀκεῖνος πρέσβυν πρὸς βασιλέα, ὃν ἐκάλουν ἐκεῖνοι σερίφην.
41 οὗτος δ' ἐστὶ παρ' αὐτοῖς ὅπερ πάλαι ἦν παρ' ἡμῖν ὁ λεγό-
μενος σύγκελλος· ὡς γὰρ ὁ σύγκελλος τοῦ πατριάρχου θανόντος
εἰς τὸν ἐκείνου τόπον ἀντικαθίστατο, οὕτω καὶ ὁ σερίφης τοῦ D IV 174
42 χαλιφᾶ φθαρέντος ἐκεῖνος τὸν τελευτήσαντα διεδέχετο. εἰσελθὼν
οὖν εἰς τὴν μεγαλόπολιν ὁ σερίφης καὶ εἰς ὁμιλίαν τῷ κρα-
τοῦντι ἐλθὼν καὶ ὁμιλήσας ὑπερηφάνως φόρους τε τελεῖν ἀπαι-
43 τῶν τῷ σουλτάν, ἀπεπέμφθη. ἐντεῦθεν βαρυθυμήσας ὁ σουλτὰν

15 ὅτι αὐτὸς (om. E) ὁ σουλτὰν κατὰ Ῥωμαίων ἐχώρησεν CE

1 ἐκόμισα D μαθὼν post λιπαρ. DEwp 2 σουλτάνον A, σουλτάν RwpDi 2. 3 τὸν ἄνδρα BC 3 πέμψαι B 4 σουλτὰν RwpDi, σουλτᾶν A, v. ad XVII 25, 21 post σπονδὰς add. αἰτῶν omisso tum ζητῶν BC 5 ζητῶν γενέσθαι A, γενέσθαι αἰτῶν DEwp, γενήσεσθαι omisso ζητῶν (v. ad vs. 4) R δῶρον στέλλει ARw (v. Cedr. l. c. p. 581, 2), δωροστέλλει D, δωρεὰν στέλλει p post στέλλει add. αὐτῷ BCwp 6 ἔδωκε BC 7 ἄρασθαι ante κατὰ D κατηγγύησεν B 8 πρέσβυν B^{s}wp, πρέσβιν AR ante βασιλέα add. τὸν BC βασιλέαν D 9 οὗτος δ' ἐστὶ παρ' αὐτοῖς πάλαι ἦν παρ' ὅπερ ἡμῖν w*p 10 σύγκελλος ARwp, σύγγελλος D, σύγκελος E, σύγγελος Cw ὡς—σύγκελλος om. C σύγγελλος D 12 θανόντος Bp ἐκεῖνος om. wp invitis AR διεδέχετο RwpDi, διεδέ^{χε}ξατο A 13 μεγάλην πόλιν Ewp 14 τε om. BC 15 τ. σουλτὰν RwpDi, τ. σουλτᾶν A, v. ad XVII 25, 21 Ad marginem cod. A manu recenti negligentissime et atramento paene evanido addita sunt: ἐντεῦθεν οἶμαι κατὰ τὸν τοῦ χοσρόου χρόνον (?), τὰ ῥωμαίων ἤρξαντο καταδουλοῦν οἱ πέρσαι συνεπιόντες .... (post συνεπιόντες tota fere linea vermibus est exesa) τῶν περσῶν ἀντιοχίας (?) δυναστείαν τοῦρκοι

38 Rex autem nuntio de capto Liparite accepto magnam pecuniam
ac munera eius redimendi causa sultano misit liberandi eius
39 cupidus et petens, ut Turci cum Romanis foedus icerent. Qui
sultanus Liparitem gratis restituit, omni pecunia illi, pro quo
missa erat, tradita addita admonitione, ne in posterum arma con-
40 tra Turcos caperet. Atque ipse etiam legatum ad regem misit,
41 quem illi seriphem vocabant; cuius eadem fere conditio est, quae
olim apud nos syncelli; nam sicut is patriarchae mortui locum
42 occupabat, ita etiam seriphes chaliphae defuncto succedebat. Is
igitur magnam urbem ingressus et superbe cum imperatore collo-

αὐτὸς κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἔκτοτε προχωροῦν τὸ τῶν
Τούρκων ἔθνος τῆς ἑῴας πάσης ἐκράτησε καὶ μέχρι τῆς ἀντι-
πόρθμου τῇ Βυζαντίδι ἠπείρου κατήντησε.
Τὰ μὲν οὖν τῶν Τούρκων τοῦτον ἔσχε τὸν τρόπον· τὸ 26 D
δὲ τῶν Πατζινάκων ἔθνος αὖθις κατὰ τὴν Εὐρωπαίαν μοῖραν
κεκίνητο· Σκυθικὸν δὲ τὸ ἔθνος καὶ πολυάνθρωπον, πέραν
Ἴστρου νεμόμενον. ἦν δὲ τότε τοῦ ἔθνους ἄρχων Τυράχ, ἀνὴρ 2
τὸ μὲν γένος παρὰ τὸ ἔθνος λαμπρός, τὸ δὲ ἦθος νωθής.
ἕτερος δέ τις Κεγένης καλούμενος, ἄσημος μὲν ὅσον εἰς γένους 3
ἀναφοράν, ἀνὴρ δὲ ῥέκτης τε καὶ δραστήριος ὢν καὶ πολλάκις
ἐν πολέμοις ἀνδραγαθήσας, παρὰ τοῦ ἔθνους πεφίλητο. διὸ 4
καὶ παρὰ τοῦ Τυρὰχ ἐλοχᾶτο, ζητοῦντος αὐτὸν ἀνελεῖν. ὁ γνοὺς 5 W III 205
ἐκεῖνος καὶ δύο τῶν φυλῶν προσεταιρισάμενος, οὐσῶν πασῶν
δέκα ἐπὶ τρισί, σὺν αὐταῖς διέβη τὸν Ἴστρον καὶ ἐπὶ τὰ Ῥω- P II 258 A
μαίων ὅρια γέγονεν, αὐτόμολος ἥκειν λέγων τῷ βασιλεῖ καὶ
οὐκ ἔσεσθαί οἱ ἀσυντελής. ἐμηνύθη ταῦτα τῷ Μονομάχῳ, καὶ 6
ὁ τῆς χώρας ἄρχων κελεύεται δέξασθαι τοὺς Σκύθας. ὁ δὲ 7
Κεγένης εἰς τὴν βασιλίδα τῶν πόλεων φοιτήσας ἐς ὄψιν ἦλθε

5 *περὶ Πατζινάκων καὶ ὅπως εἰς τὰ παρίστρια διέβησαν* CE 12 *περὶ τῆς τῶν Σκυθῶν προσελεύσεως* CE

1 *προσχωροῦν* D 1. 2 *τὸ τῶν τούρκων ἔθνος* AR, *τὸ ἔθνος τῶν τούρκων* C, *τὸ τῶν τούρκων γένος* Ewp 2 *ἁπάσης* Rwp 5. 6 *αὖθις κατὰ—δὲ τὸ* om. E 5 *αὖθις* om. BˢCwp 8 *περὶ* E *τῷ ἔθνει* CDwp 10 *τε* om. D *ὢν* om. p**Di* invitis ARw 12 *συρὰχ* D *ἐχολᾶτο* E 15 *λέγων ἥκειν* BC 16 ante *μον.* add. *βασιλεῖ* C 18 ante *εἰς* add. *καὶ* Rwp *εἰς—ἐς*] v. ad p. 184, 12 *φοιτήσας* ante *τῶν* C

cutus cum ab eo postulasset, ut tributa sultano penderet, infecta
re est dimissus. Qua de causa iratus sultanus ipse Romanos 43
aggressus est, eoque tempore Turcica gens longius progressa
totum Orientem subegit et usque ad continentem Byzantio obver-
sam processit.
26. Ac ita se res Turcicae habuerunt; Patzinacae vero
iterum in Europam grassabantur, gens Scythica et populosa ultra
Istrum incolens, cui tum Tyrachus imperabat, vir nobilis ille qui- 2
dem, sed ignavus. Alius vero quidam Cegenes, ut genere obscuro 3
ortus, ita homo acer et strenuus ob multa egregia facinora in
bellis edita populo carus erat. Qua de causa Tyrachus eum per 4
insidias tollere studebat. Quo ille animadverso, duabus e tredecim 5
tribubus sibi conciliatis, traiecto Istro in Romanorum fines venit,
se transfugisse ad regem eique non inutilem fore professus.
Qua re indicata praeses huius regionis a Monomacho Scythas 6
recipere iubetur. Cegenes vero Byzantium profectus in con- 7

τῷ βασιλεῖ καὶ τὸ σωτήριον δεξάμενος βάπτισμα ἐτιμήθη πα-
8 τρίκιος. ἔπεισε μέντοι καὶ τοὺς σὺν αὐτῷ Σκύθας τοῦ θείου
9 τούτου λουτροῦ μετασχεῖν. ποιούμενος δὲ τὰς διατριβὰς κατὰ
τὰ παρίστρια καὶ διαβαίνων τὸν ποταμὸν ἀθρόον ἐκάκου τοὺς D IV 175
10 τοῦ Τυράχ, ἀναιρῶν τε καὶ ληιζόμενος. πρεσβείαν τοίνυν ὁ
Τυρὰχ πρὸς τὸν βασιλέα ἀπεσταλκὼς ᾐτιᾶτο ὅτι τὸν ἀποστάτην
τοῦ ἔθνους ἐδέξατο, καὶ εἰ μὴ κωλύσει κακοῦν τὸ ἔθνος τὸν
B 11 πρόσφυγα, τὸ ἔθνος ὅλον ἕξει πολέμιον. πρὸς ταῦτα δ' ὁ αὐτο-
κράτωρ "οὔτε προδότης" ἔφη "τοῦ προσελθόντος γενήσομαι
12 οὔτε κωλύσω μὴ ἀμύνασθαι τοὺς ἐπιβουλεύσαντας." τούτων
τῶν μηνυμάτων τῷ Τυρὰχ κομισθέντων, ἐπεὶ χειμὼν ἐπέστη
καὶ ὁ Ἴστρος ἐξ ὄχθης εἰς τὴν ἑτέραν τῷ κρύει πηγνύμενος
κεκρυστάλλωτο, πεζῇ διέβη τὸν ποταμὸν σὺν τῷ ἔθνει παντὶ
καὶ τὴν Ῥωμαΐδα χώραν καταλαβὼν τὰ ἐν ποσὶν ἐκεράϊζεν.
13 ὁ δέ γε βασιλεὺς τοῦτο μαθὼν στρατιὰν αὐτίκα τῷ τῆς χώρας
14 ἄρχοντι καὶ τῷ Κεγένῃ ἐπίκουρον ἔπεμψεν. οἱ μέντοι Πατζι-
C νάκαι τροφῶν ἀφθονίαν εὑρόντες καὶ οἴνου καὶ ἄλλων πομάτων
ἐσκευασμένων ἐκ μέλιτος καὶ περὶ ταῦτα ἀπληστευσάμενοι, νοσή-
15 ματι κοιλιακῷ περιέπεσον. καὶ τοῦτο ἐξ αὐτομόλου γνοὺς ὁ

10 περὶ τῆς τῶν ἑτέρων Σκυθῶν ἐπελεύσεως καὶ ὅπως ἑάλωσαν C

4 παρίστρια RwpDi, πά|τρια A 5 πρεσβίαν E, corr. Ew 7 κωλύσῃ E(wp) 8 post πρόσφ. add. ἠπείλει Rwp ἕξειν Rwp 9 γενήσεσθαι Rwp 10 κωλύσω AD, κωλύσαι Rwp ἀμύνεσθαι D 11 τῶν om. CD 13 κεκρυστάλωτο AR, κεκρυστάλλωτο wpDi 14 κατειληφὼς Rwp 16 ἔπεμψεν R^s wpDi, ἔπεμψε A, v. ad XIII 1, 5 17 ante τροφ. add. καὶ B πομάτων AO Cedr. (Scylitz.) II p. 586, 11, ποτίμων Ewp

spectum regis venit et salutari baptismate initiatus patricius est
8 appellatus suisque Scythis persuasit, ut et ipsi divino illo lavacro
9 abluerentur. Cum vero in ripis Istri stativa haberet et flumine
10 subito traiecto Tyrachios caedibus et rapinis infestaret, Tyrachus
per legatos cum rege ob transfugam susceptum expostulat, quem
11 nisi coërceret, totam gentem illi fore hostem. Ad ea respondet
imperator se neque deditiGium proditurum neque prohibiturum,
12 quominus insidiatores ulcisceretur. Quibus nuntiis acceptis Tyra-
chus, cum Ister hiberno tempore totus conglaciasset, cum tota
gente pedibus flumen transiit Romanaque provincia occupata ob-
13 via quaeque vastabat. Sed rex exercitum provinciae praesidi et
14 Cegeni statim subsidio mittit. Patzinacae vero, cum annonae et
vini et aliarum potionum, quae ex melle conficiuntur, copiam
invenissent et iis avide se ingurgitassent, in coeliacum morbum
15 inciderunt. Quo Cegenes e transfuga cognito Romanis quoque

Κεγένης ἀναπείθει καὶ τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπιθέσθαι τοῖς
ἐναντίοις. ὡς γοῦν εἶδον οἱ βάρβαροι τὴν κατ' αὐτῶν τῶν 16
Ῥωμαίων ἐπέλευσιν, κατειργασμένοι τῇ νόσῳ τυγχάνοντες ἰλιγ-
γίασαν καὶ ἀποδειλιάσαντες μεθῆκαν τὰ ὅπλα καὶ ἱκέται γεγό-
νασι καὶ τοῖς ἐχθροῖς παρέδωκαν ἑαυτούς. τούτων ὅσοι μὲν 17
ὑπὸ τὸν Κεγένην γεγόνασιν, οἱ μὲν ξίφεσι παρεδόθησαν, οἱ δὲ
πρὸς δουλείαν χρυσοῦ ἀπεδόθησαν. τὸ πλῆθος δὲ τὸ λοιπὸν 18
χρήσιμον ἐνομίσθη γενέσθαι Ῥωμαίοις, εἰ τὰ ὅπλα ἀφαιρεθὲν
εἰς τὴν τῶν Βουλγάρων χώραν κατοικισθείη, ἔρημον οὖσαν D
τὴν πλείονα, πρὸ μικροῦ τοῦ ἔθνους ἐκείνου καταλυθέντος· ὃ
IV 176 καὶ γέγονε τοῦ βασιλέως κελεύσαντος. ὁ δέ γε Τυρὰχ σὺν 19
τοῖς ἐξόχοις τοῦ ἔθνους ἤχθη πρὸς τὸν κρατοῦντα καὶ τοῦ
θείου καταξιωθέντες βαπτίσματος ἀξιώμασι λαμπροῖς ἐτιμήθη-
σαν. ὡς δὲ μάχαι τότε Ῥωμαίοις μετὰ τῶν Τούρκων ἦσαν 20
κατὰ τὴν ἑῴαν, πεντεκαίδεκα χιλιάδας Πατζινάκων ὁ αὐτο-
κράτωρ ἐπιλεξάμενος καὶ καθοπλίσας αὐτοὺς ἵππους τε παρα-
σχόμενος καὶ ἐπιστήσας στρατάρχας αὐτοῖς ἐκ τῶν ὁμογενῶν
ἐν Χρυσοπόλει διεπέρασεν, εἰς Ἰβηρίαν κελεύσας ἀπελθεῖν, τάξας
αὐτοῖς καὶ προηγήτορα τῆς ὁδοῦ. ὡς δ' οὖν περὶ τὸν Δαμα- 21
τρὺν ἥκασιν, ἔστησαν καὶ πρόσω προβαίνειν οὐκ ἤθελον· εἰς

14 *ὅπως οἱ Σκύθαι τῆς ὑπὸ Ῥωμαίους δουλείας ἀφηνίασαν, εἶτα ἐσπείσαντο* CE

2 *οὖν* DEwp 5. 6 *καὶ τοῖς—τὸν κεγένην* om. E 5 ante *ὅσοι* add. *δ'* w*p invitis AO 8 *ἀφαιρεθεῖν* p* 9 *κατοικηθείη* D 14. 15 *κατὰ τὴν ἑῴαν* ante *μετὰ* Rwp 17 *καὶ* om. *Di* invitis ARwp *ἐπιστήσας* post *αὐτοῖς* BC 18 *ἐν*] *καὶ* D *διεπεραίωσεν* Rwp 20 *ἀφίκοντο* BC *πρόσω προβαίνειν* AR, *πρόσω βαίνειν* DEwp*Di*, sed non abhorret ab usu Zonarae talis pleonasmus, v. XVII 29, 9: *πρότερον* . . *προκαταληφθέντα*

copiis fit auctor hostes invadendi. Quas cum barbari morbo con- 16
fecti contra se ire vidissent, aestuantes et animis armisque abiectis
facti supplices hostibus se dediderunt. Quicunque vero in Ce- 17
genem inciderunt, partim gladiis sunt trucidati, partim auro ad
servitutem venierunt. Reliqua multitudo Romanis usui fore visa 18
est, si armis ademptis in Bulgaria maxima ex parte deserta ob
gentem illam non ita pridem eversam collocaretur; idque iussu
regis factum est. Tyrachus vero eiusque proceres ad impera- 19
torem perducti et baptizati et magnis dignitatibus ornati sunt.
Quod autem tum Romanis cum Turcis bella erant in Oriente, 20
imperator delectu acto XV milia Patzinacarum armis et equis et
suae gentis ducibus datis Chrysopolim transvectos in Iberiam
ire iussit, itineris quoque duce addito. Qui cum ad Damatryn 21

*τοὐπίσω δὲ χωρήσαντες καὶ ἄχρι τοῦ πορθμοῦ ἐφθακότες σὺν
τοῖς ἵπποις τὴν θάλασσαν διαπορθμευσάμενοι κατὰ τὴν τοῦ*
P II 259 A *ἁγίου Ταρασίου μονήν, αὐτίκα συντεταμένην ποιησάμενοι τὴν*
22 *ὁδοιπορίαν τοῖς ὁμογενέσι προσήνωντο· καὶ ἐπεὶ ὁμοῦ συν-
ηθροίσθησαν, ἀπῆλθον καὶ ἐν τοῖς παριστρίοις πεδίοις ἐπήξαντο
τὰς σκηνάς, ἐκεῖθεν δ' ὁρμώμενοι τὰ Θρᾳκῷα κατέτρεχον.*
23 *πολλάκις δὲ τοῦ βασιλέως κατ' αὐτῶν στρατεύματα πέμψαντος,
ἐπικρατέστεροι ἦσαν οἱ βάρβαροι, ὥστε καὶ ἀδεῶς κατὰ πάσης
τῆς Θρᾴκης καὶ Μακεδονίας σκεδάννυσθαι καὶ λείαν ἅπαντα
τίθεσθαι καὶ οὐ τὰ πόρρω μόνον, ἀλλὰ μέντοι καὶ τὰ τῇ πόλει*
24 *ἀγχίθυρα. τέλος δὲ σπένδονται Ῥωμαίοις τριακοντούτεις σπον-
δάς. καὶ οὕτως ὁ τῶν Πατζινάκων ἔληξε πόλεμος.*
27 *Ὁ δὲ σουλτὰν οὐκ ἔληγεν ἐπιὼν τὰς ὑπὸ Ῥωμαίους χώ-
ρας καὶ πόλεις καὶ τὰς μὲν ληιζόμενος, τὰς δ' ἐκπορθῶν τε*
W III 206 B *καὶ οἰκειούμενος.*
2 *Κατὰ τούτους τοὺς χρόνους καὶ ἐπιβουλὴν ὁ αὐτοκράτωρ*
3 *ἐφώρασεν, ἣν Ῥωμανὸς ὁ Βοΐλας συνεστήσατο. ἦν δ' οὗτος*

16 *περὶ ἐπιβουλῆς, ἣν ὁ Βοΐλας ἐμελέτησε καὶ οἷος ἦν ἐκεῖνος* (om. E) CE

2 post *διαπορθ.* repetit E *τοῦ πορθμοῦ ἐφθακότες*, quae omnia praeter *τοῦ* delet 3 *συντεταμένην* AC*Wo* lat., *ἐντεταμένην* B, *συντεταγμένην* Rwp (cf. Cedr. l. c. p. 589, 13: *τὴν πορείαν ἐπιτεί-ναντες*) 4 *πορείαν* BC *προςήνωνται* D 7 *κατ' αὐτῶν* initio versus om. D *στράτευμα* Ewp 9 ante *μακεδ.* add. *τῆς* Rwp 16 post *ἐπιβουλὴν* add. *καθ' ἑαυτοῦ* (*κατ' αὐτοῦ* D) Rwp 17 *ἐφόρασεν* E, corr. Ew *βόϊλας* AEwp, *βοΐλας* O (B corr. ex *βόϊλας*) *Di* (v. Cedr. (Scylitz.) II p. 605, 2), *Βοϊλᾶς* mavult *B-W*

pervenissent, restiterunt nec ultra progredi voluerunt, sed re-
gressi usque ad fretum, mari iuxta S. Tarasii monasterium equis
transmisso, continenter profecti sunt, donec cum popularibus
22 suis se coniungerent. Quo facto, tabernaculis in campis ad ripas
23 Istri fixis Thraciam incursarunt, copiis regiis subinde contra se
missis superiores, ut impune per totam Thraciam et Macedo-
22 qui aderant, incusans, ut a quibus vis sibi fieret, audaciores ex
hominibus seditiosis ac potius seditionis auctores corona circa
eum facta petiverunt, ut legatus ad regem iret ac scriptum sibi

σιλέα, ἵν' αὐτοῖς ἀποδοθείη τὸ ἔγγραφον, ὃ βιασθέντες ὑπογε-
γράφασιν, ἐπεὶ τῷ Κομνηνῷ ἐκεῖνος ἐσπείσατο. ὁ δὲ πλη- 23
ρώσειν αὐτῶν τὸ αἴτημα κατετίθετο· ἀλλ' ἦσαν προσποίησις
D IV 191 ἅπαντα. βραχείας γὰρ παρελθούσης ὥρας βασιλέα καὶ αὐτο- 24
κράτορα φανερῶς ἀνεῖπον τὸν Κομνηνόν, αὐτοῦ τοῦ πατριάρχου
συνευδοκοῦντός τε καὶ συμπράττοντος, καὶ τῷ μὲν Κομνηνῷ
μὴ μέλλειν δηλώσαντος, ἀλλὰ σπεύδειν, καὶ ἀμοιβὰς αἰτοῦντος
τῆς ἀναρρήσεως, τῷ δ' ἕως τότε βασιλεύοντι κατιέναι τῶν ἀνα-
κτόρων ἰταμώτερον ἐπιτάττοντος. ἀρχιερέων δὲ τῷ γέροντι 25
Μιχαὴλ τὰ τοῦ πατριάρχου κομισάντων μηνύματα, ἐκεῖνος ἔφη P II 268 A
"τί δέ μοι ἀντὶ τῆς βασιλείας παρέξετε;" οἱ δέ "τὴν οὐράνιον
βασιλείαν" ἀπεκρίθησαν. αὐτίκα τοίνυν ἀπορρίψας τὰ τῆς βα- 26
σιλείας παράσημα ἀπῆλθε τῶν βασιλείων. ὁ δέ γε Κομνηνὸς 27
κουροπαλάτην τιμήσας τὸν Κεκαυμένον στέλλει τὸν ἄνδρα μετά
τινος δυνάμεως παραληψόμενον τὰ ἀνάκτορα. τὸ μέντοι πλῆθος 28
τῆς πόλεως εἰς ὑπαντὴν τοῦ νέου βασιλέως ἐκκέχυτο λαμπρό-
τατά οἱ ποιοῦν τὰ εἰς τὴν βασιλεύουσαν εἰσιτήρια.

Ἕνα μὲν οὖν ὁ Μιχαὴλ αὐταρχήσας ἐνιαυτὸν τῆς βασι- 4 W III 213
λείας ἐκπέπτωκε καὶ οὐ πολὺ ἐν ἰδιωτικῷ σχήματι βιώσας ἀπ-
έτισε τὸ χρεών. ὁ δὲ Κομνηνὸς τῇ βασιλείᾳ ἐγκαταστὰς ἑαυτῷ 2 B

9 ἔκπτωσις τῆς βασιλείας (βασ. ἔκπτ. E) Μιχαὴλ τοῦ γέροντος CE
18 (p. 666, 1) βασιλεία Ἰσαακίου τοῦ Κομνηνοῦ CD, βασιλεία τοῦ (om. E) Κομνηνοῦ Ἰσαακίου AE, βασιλεία Ἰσαακίου B

1 ὑπέγραψαν BC 2 ἐκεῖνος om. B 5 φανερῶς om. D 6 τε om. D 7 μέλειν B 8 τῆς] τοῦ D 12 ἀνταπεκρίθησαν Rwp 13 ἀνακτόρων C 16 ἐκέχυτο B 18 post ὁ add. γηραιὸς (γηραῖος p*) Rw 19. 20 καὶ οὐ πολὺ βιώσας μετὰ τὴν ἔκπτωσιν ἀπέτισε τ. χρ. BCWo lat.

restituendum curaret, cui, cum ille pacem fecisset cum Comneno,
subscribere essent coacti. Ille vero se ea quae vellent imple- 23
turum esse professus est; sed ea quoque omnia erant commen-
ticia. Nam paullo post Comnenum regem et imperatorem aperte 24
salutaverunt, suffragante et adiutante ipso patriarcha, qui illi
nuntiarat, ne cunctaretur, et praemium suffragii postularat et
Michaëli insolentius denuntiarat, ut regia decederet. Quo nuntio 25
a primariis sacerdotibus accepto, senex Michaël "Quid mihi"
inquit "pro imperio dabitis?" illisque respondentibus "Regnum
caeleste", statim insignibus regiis abiectis regia decessit. Comne- 26. 27
nus autem Cecaumenum, quem curopalatem fecerat, cum copiis
ad regiam occupandam misit, populo urbano ad novi regis occur- 28
sum effuso et illustrissimum reddente eius in urbem ingressum.

4. Michaël igitur, cum unum imperasset annum, regno ex-
cidit neque diu post privatus vixit. At Comnenvm firmati regni 2

τὴν ταύτης ἐπιτυχίαν καὶ οὐ τῷ θεῷ ἐπεγράψατο, καὶ τοῦτο
δῆλον ὅτι τῷ νομίσματι ξιφήρη ἑαυτὸν ἐνεχάραξε, μόνον οὐχὶ
βοῶν ὅτι "τοῦτό μοι τὴν βασιλείαν, οὐχ ἕτερόν τι προυξένησε."
3 τοὺς δὲ συναραμένους αὐτῷ φιλοτιμότατα ἀντημείψατο καὶ
ἔσπευσεν ἑκάστῳ τὰς ἀμοιβὰς ἀποδοὺς οἴκαδε παρασκευάσαι
ἀποχωρεῖν, ἵνα μή τι θορυβήσωσιν ἢ τοῦ δήμου κατεξανα-
4 στῶσιν ἀστυπολοῦντες. τὸν πατριάρχην δὲ δι' αἰδοῦς ἦγεν ὅτι
πολλῆς καὶ τοὺς αὐτοῦ ἀδελφόπαιδας δι' ἐκεῖνον καὶ τιμαῖς
5 ἐτίμησε μείζοσι καὶ ἀρχαῖς περιφανέσιν ἐπέστησε. χαριζόμενος
C δ' ἔτι τῷ πατριάρχῃ καὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων D IV 192
οἰκονομίαν τῇ ἐκκλησίᾳ ἀπένειμε, μέχρι τότε τοῦ μεγάλου οἰκο-
νόμου προχειριζομένου παρὰ τοῦ βασιλεύοντος, ἀλλὰ μὴν καὶ
τοῦ σκευοφύλακος, ἐκεῖνος δὲ καὶ ἄμφω ὑπὸ τὴν τοῦ πατρι-
6 άρχου ἔθετο ἐξουσίαν, ἀποξενώσας ἀμφοῖν τὸ δημόσιον. εἶτα
τὴν μὲν τοῦ βίου αὐτῷ κοινωνὸν Αὐγούσταν ἀνηγόρευσε, τὸν
δ' ἀδελφὸν Ἰωάννην κουροπαλάτην τετίμηκε καὶ ὠνόμασε μέγαν
δομέστικον.

9 ὅτι πρῴην οἰκονόμων καὶ σκευοφυλάκων τῆς μεγάλης ἐκκλησίας παρὰ τοῦ βασιλέως προβαλλομένων ὁ Κομνηνὸς (οἱ κομνηνοὶ C) καὶ ἄμφω τῇ ἐκκλησίᾳ ἀπένειμεν CE

3 post *βασιλείαν* add. *ἐχαρίσατο* C ante *οὐχ* add. *καὶ* Rwp*Di* 4 *φιλοτιμώτατα* Ewp 5 *ἔσπευδεν* B ante *οἴκαδε* add. *πάντας* Rwp 6 *θωρυβήσωσιν* w*p 7 *δὲ* ante *πατρ.* DEwp *εἶχεν* D 8 *αὐτοῦ* ARwp, *αὐτῷ* *Di* *καὶ* ante *τιμαῖς* om. Ewp 9 *περιφανέσιν* A, *ὑπερηφάνοις* Rwp 14 *ἀποξενώσας—δημόσιον* om. BC *τὸ*] *τὸν* E 15 *κοινωνὸν αὐτῷ* B 16 *δ'* ARw, *δὲ* p*

adeptionem non deo, sed sibi attribuisse ex eo apparet, quod in numis suam imaginem stricto ense insculpendam curavit, tantum
3 non clamitans: "Hic mihi regnum, nil aliud peperit." Eos a quibus adiutus erat, liberalissime est remuneratus relataque festinanter omnibus gratia operam dedit, ut domum suam quisque rediret, ne in urbe volitantes vel tumultum excitarent vel contra
4 populum insurgerent. Patriarcham magnopere veneratus fratris eius filios et magnis honoribus affecit et splendidis magistratibus
5 praefecit. Praeterea in patriarchae gratiam etiam ecclesiasticarum rerum procurationem ecclesiae attribuit; nam cum usque ad id temporis et magnus oeconomus et sceuophylax a rege designari solerent, utrumque id munus patriarchae potestati sub-
6 iecit, amota publica auctoritate. Deinde vitae sociam appellavit Augustam, fratrem autem Ioannem curopalatem et magnum domesticum nominavit.

Τῶν δὲ πρὸ αὐτοῦ βασιλέων, ὅσοι μετὰ τὸν πορφυρογέν- 7
νητον ἐκεῖνον Βασίλειον τῆς βασιλείας ἐπέβησαν, οὐ καλῶς χρη-
σαμένων τοῖς δημοσίοις καὶ κοινοῖς πράγμασιν, ἀλλὰ τὰ μὲν D
εἰς οἰκείας ἀπολαύσεις καὶ εἰς ἀσκητηρίων κατασπαθησάντων
οἰκοδομάς, τὰ δὲ δωρουμένων οἷς ἔτυχεν ἢ τέως οἷσπερ ἐβού-
λοντο, οἱ βασιλικοὶ θησαυροὶ ἐκκεκένωντο καὶ τὰ δημόσια πρυ-
τανεῖα χρημάτων ἐσπάνιζον. τοῦτο τοίνυν ὁ Κομνηνὸς προ- 8
θέμενος διορθώσασθαι, οὐκ ἠρέμα οὐδὲ κατὰ βραχὺ τῇ διορ-
θώσει ἐπικεχείρηκεν, ἀλλ' ὡς τῷ στατῆρι ἑαυτὸν ἀνεστήλωσεν
ἀνατεταμένον τὴν χεῖρα, φέρουσαν τὸ ξίφος γυμνόν, οὕτω καὶ
τοῖς πράγμασιν ἐπήνεγκεν ἑαυτὸν καὶ τέμνειν αὐτίκα παρεσκεύ-
αστο τὰ οἰδήματα, ἀλλ' οὐ μαλάσσειν οὐδ' ἐμπλάττειν τὰ ὕπουλα.
ὅθεν οὐδ' ἐξ οὗπερ τοῦ κράτους ἐπέβη καὶ εἰς ἔννομον ἀρχὴν 9
τὴν πρὶν αὐτοῦ τυραννίδα μετήνεγκεν, ἀναποδίσας τὴν τοῦ πρὸ P II 269 A
αὐτοῦ πρᾶξιν ἀνέτρεψε καὶ εἴ τι ἐκεῖνός τισιν ἐδωρήσατο, ἀφῃ-
ρεῖτο καὶ ἀπεστέρει τοὺς εἰληφότας, ἀλλὰ καὶ τῶν πρὸ ἐκείνου
πολλὰ καθῄρησε καὶ ἠθέτησε, καὶ οὐ μόνον ταῦτα πρὸς τὸ
δημῶδες ἐποίει, ἀλλ' οὐδὲ τῶν τῆς γερουσίας ἐφείδετο. εἶτα 10

1 *ὅτι ἀποτόμως τῇ τῶν κοινῶν πραγμάτων διορθώσει ἐπικεχείρηκε καὶ γέγονεν ἅπασι μισητός* C 18 *ὅτι οὐδὲ αὐτῶν τῶν τῷ θεῷ καθωσιωμένων ἐφείσατο* (*ἀφωσιώσατο* E) CE

3 *δημοσίοις* AR, *βασιλείοις* DEwp *πράγμασιν* ARwp, *χρήμασιν* C$_{w}$ *τὰ* RwpDi, initio versus om. A 4 *κατασπαθησάντων* O^{s}wp*Di*, *κατασπασθησάντων* A, *κατασπα|σθεισάντων* E 6 *καὶ* Rwp*Di*, om. A 7 *ἐσπανίζον* p* 9 *ἀνεστηλῶς* D 10 *ἀνατεταμμένον* C 11 *τεμνεῖν* p* 12 *ἀλλ' οὐ*] *οὐ δὲ* C *ἐμπλάττει* D 13 *οὐδὲ* E^{s}wp*Di* 14 *αὐτῷ* D *τοῦ* om. C, suppl. C$_{w}$ 18 *δυσμῶδες* D

Ceterum cum omnes eius post Basilium porphyrogenitum 7
decessores fisci et aerarii pecuniam parum recte collocassent,
partim in suas voluptates et monasteriorum aedificationes insum-
ptam, partim sine delectu ac pro libidine sua condonatam, tam
regii thesauri exhausti fuerunt, quam aerarium pecunia vacuum.
Quod vitium Comnenus correcturus emendationem non paullatim 8
ac pedetentim est aggressus, sed ut in statere se incidi iussit
erecta manu strictum ensem sustinentem, ita etiam negotiis se
ingessit, statim paratus ad secandos tumores, non adhibitis medi-
camentis, quae exulceratas partes mollirent ac foverent. Itaque 9
postquam tyrannidem cum legitimo imperio commutavit, non
modo decessoris acta sine discrimine abrogavit et si quid cui
ille largitus fuerat, eripiebat, sed etiam superiorum imperatorum
multa acta evertebat et abrogabat, neque id in vulgi dumtaxat
fraudem, sed ne senatui quidem pepercit. Denique contra res 10

προβαίνων καὶ κατὰ τοῦ θείου ἐχώρησε καὶ πολλὰ τῶν τοῖς
παρ' ἐκείνων δομηθεῖσι φροντιστηρίοις ἀφιερωμένων ἠκρωτη- D IV 19
ρίασεν, ἢ μᾶλλον ἐκλογισμοῖς ὑποβάλλων τοὺς ἐν αὐτοῖς ἀσκου-
μένους καὶ τὴν ἀποχρῶσαν αὐτοῖς δαπάνην ἀπονέμων τὰ λοιπὰ
τῷ δημοσίῳ ἀφωσίου καὶ ἀνελάμβανε καὶ ἄλλο ἐπ' ἄλλῳ καθ'
B 11 *ἑκάστην ἐνεώχμου τοιοῦτον. ἐντεῦθεν ἅπασι μισητὸς ἦν τῷ*
τε δημοτικῷ πλήθει τῇ τε συγκλήτῳ βουλῇ, ἀλλὰ μέντοι καὶ
12 *τῷ στρατιωτικῷ· οὐδὲ γὰρ οὐδ' ἐκείνου ἀπείχετο, ἀλλὰ κἀκεί-*
νοις ἀπεμείου τὰς εὐπορίας καὶ τῶν ἄλλων μᾶλλον τοῖς ἐν
13 *σεμνείοις τὴν ζωὴν διανύουσι. τὸν δὲ οὐδὲν ἀπῆγε τῶν ἐγχει-*
ρήσεων, οὐ λόγος, οὐ δέος, οὐ μῖσος, οὐ ψόγος· οὕτως ἐπῆρτο
τὸ φρόνημα καὶ οἰδῶσαν ἐκέκτητο τὴν ψυχήν.
5 *Ἀλλ' οὐδ' ὁ πατριάρχης ἧττον ἐκείνου πεφρονημάτιστο.*
2 *ἤθελεν οὖν ἐπιτάσσειν αὐτῷ, καὶ εἴ ποτε πρὸς τὰ αἰτούμενα*
ἀπετύγχανεν, ὁ δὲ ἐδυσχέραινε καὶ ἠπείλει καὶ ἐπετίμα, εἶτα
W III 214 C *καὶ ὡς αὐτὸς αὐτῷ τὴν βασιλείαν ἀπονενεμηκώς, αὐτὸς καὶ*
3 *ἀφελέσθαι ταύτην αὐτὸν εἰσαῦθις ἠπείλησε. ταῦτα οὐκ ἦν οἴσειν*
τὸν βασιλέα ἐπιεικῶς· διὸ καὶ δρᾶσαι πρίν τι πάθοι προεμηθεύ-

13 *ὅτι ὁ πατριάρχης ἤθελεν ἐπιτάσσειν τῷ βασιλεῖ καὶ ἠπείλει αὐτῷ* CE

2 *ἀνατιθεμένων* D 4 *ἀπονέμων δαπάνην* BC 6 *ἐνεώχμου* AR (v. Steph. thes. V p. 1447 B), *ἐνόχμου* E, *ἐνεόχμου* Dwp*Di* *ἅπασιν ἦν μισητὸς* Ewp 7 *δημοτικῶ* O(*Di*), *δημωτικῶ* Ewp, *δημοσίω* A 9 *τῶν* AR, *τὸν* w*p 10 *τοῖς σεμνείοις* DEwp, *σεμνείω* B *τὸν* Rwp*Di*, *τῶν* A 11 *οὐ μῖσος* om. C 12 *οἰδῶσαν* ARwp, *οἰδοῦσαν* *Di* 17 *αὐτὸν* AR, om. w*p 18 post *βασιλέα* add. *ἐκεῖνον* BCwp *δράσαι* ARwp, corr. *Di*

sacras se convertit, multa monasteriis, quae ab illis constructa
erant, collata truncavit ac potius monachos publicis rationibus
subiecit, necessariis tantum sumptibus relictis, ceteris vero fisco
11 attributis. Dum igitur in dies hoc modo aliud ex alio novat,
omnium in se odia suscepit, tam plebis, quam patrum conscri-
12 ptorum atque etiam militum, quibus nec ipsis pepercit, quominus
opes eorum imminueret, prae ceteris autem omnibus eorum, qui
13 in monasteriis aetatem exigebant. Neque vero quicquam illum
ab instituto deduxit, non oratio, non metus, non odium, non re-
prehensio; adeo sustulerat animos atque intumuerat.
2 5. Neque vero patriarcha superbia illi cedebat, sed illi im-
perare volebat ac si quando ea, quae petierat, non impetrasset,
aegre ferebat et minabatur et increpabat; denique quemadmodum
ipse regnum illi contulisset, ita se ipsum idem illi erepturum esse
3 minatus est. Quae cum rex ferre aequo animo haud utique

σατο. τοῦ γοῦν πατριάρχου εἰς τὴν οἰκείαν ἀπελθόντος μονήν, 4
ἤδη τῆς πανηγύρεως ἐφεστώσης τῶν ἐν αὐτῇ τιμωμένων οὐρα-
νίων δυνάμεων, ἵν' ἑορτάσῃ λαμπρότερον, πέμψας ἐκεῖ χεῖρα
στρατιωτικὴν ὁ κρατῶν (οὐ γὰρ ἤθελεν ἐκ τῆς τοῦ θεοῦ λόγου
Σοφίας τὸν ἄνδρα καταγαγεῖν, ἵνα μὴ παρὰ τῷ κλήρῳ ἢ καὶ
τῷ δήμῳ θόρυβος γένηται), ἐκεῖνόν τε καὶ τοὺς ἐκείνου ἀνεψιοὺς
συνόντας αὐτῷ ὑπερορίους ποιεῖ. εἶτα καὶ καθαιρέσει ὑπο- 5
βαλεῖν αὐτὸν διὰ φροντίδος ἐτίθετο καί τισι τῶν ἀρχιερέων συν- D
D IV 194 *εργοῖς πρὸς τοῦτο ἐκέχρητο δηλοῖ τε δι' αὐτῶν τῷ ἀνδρὶ ἀπεί-*
πασθαι τὴν ποιμαντικήν, ἵν' ἑκὼν δοκῇ αὐτὴν παραιτεῖσθαι,
ὡς εἰ μὴ τοῦτο, καὶ ἄκων αὐτὴν ἀφαιρεθήσεται, εἰς μέσον
κατ' αὐτοῦ προτιθεμένων αἰτιαμάτων. ὡς δ' ἐκεῖνος οὐκ ἦν 6
ὑπείκων τῷ τοῦ βασιλέως θελήματι, φροντὶς ἦν τῷ κρατοῦντι
περὶ τῆς αὐτοῦ καθαιρέσεως. ἀλλ' ἔφθη λύσας τὴν φροντίδα
τοῦ πατριάρχου ὁ θάνατος. μετ' ὀλίγον γὰρ μεθίσταται τῶν 7
ἐνθένδε ὁ πατριάρχης, καί τις τῷ Κομνηνῷ τὴν ἐκείνου εὐηγ- P II 270 A
γελίσατο τελευτήν, ὡς φροντίδων αὐτὸν ἀπαλλάττουσαν. ὁ δ' 8

1 *ἐξορία τοῦ πατριάρχου Μιχαήλ* CE 14 *τελευτὴ τοῦ πατριάρχου ἐν τῇ ἐξορίᾳ* CE

1 *μόνον* D 4. 5 *ἐκ τῶν ἱερῶν ἀνακτόρων* BC 5 *ἢ* om. E 8 *αὐτὸν* om. C *τίσι* p* 9 post *ἐκέχρητο* add. *καὶ τῷ ψελλῷ αἰτιαμάτων πολλῶν καὶ ἀλλοκότων συναγωγεῖ· ἃ ἐν τῷ κατ' ἐκείνου λόγῳ συνήθροισέ τε καὶ συνεγράψατο* (BCEwp), cf. Rhodium *Beitr. zur Lebensgesch. u. z. d. Briefen d. Psellos* Progr. gymn. Plaviens. Saxon. 1892 p. 8 et *Maedlerum* l. c. p. 14 s. *δι' αὐτῶν* AD Scylitz. p. 644, 7, *διά τινων* Rwp 10 *δοκοίη* B *αὐτὴν δοκῇ* CE(wp) 11 *ταύτην* BC 11. 12 *εἰς .... κατ'* E omisso *μέσον* 12 *αἰτιμάτων* (sic) A 13 *ὑπείκων* Rwp*Di*, *ὑπεῖκον* A 16 *ἐνθένδε* Rwp*Di*, *ἐνθένδεν* (sic) A, *ἔνθεν δὲ* D *ποιμενάρχης* BC

posset, providit, ut malum daret potius quam ferret. Cum igitur 4
patriarcha in suum monasterium abiisset, ut diem festum instantem sanctorum angelorum, qui ibi colebantur, splendidius celebraret, imperator missa illuc cohorte militum (neque enim ex ecclesia verbi divini Sapientiae avellere voluit, ne cleri vel populi motus oreretur), et ipsum et eius nepotes relegat. Deinde de 5
abrogando illi patriarchatu cogitans opera quorundam sacerdotum utitur et per eos viro significat, ut simulet se ultro pontificatu cedere, quem alioquin invitus cum publica infamia sit amissurus. Ut autem ille refragabatur, imperatoris de eo amo- 6
vendo sollicitudinem mors sustulit. Neque enim multo post illius 7
obitus a quodam est Comneno nuntiatus; qui cum se laetum illi afferre nuntium et curas adempturum esse putaret, ille statim 8

εὐθὺς μετεγνώκει καὶ ἀνωλόλυξε καὶ τὸν ἐκείνου νεκρὸν μετ'
ἐντίμου τῆς προπομπῆς ἐκ τῆς ὑπερορίας ἀναγαγὼν εἰς τὴν
αὐτοῦ μονὴν ἐναπέθετο καὶ τοὺς ἐκείνου ἀδελφιδοὺς αὖθις
9 *ἀποκατέστησε πρὸς τὰς πρότερον τιμάς. τῇ δ' ἐκκλησίᾳ τὸν*
πρόεδρον καὶ πρωτοβεστιάριον Κωνσταντῖνον τὸν Λειχούδην
ἀντικατέστησεν, ἄνδρα ταῖς τῶν κοινῶν πραγμάτων ἐπὶ μακρὸν
ἐμπρέψαντα διοικήσεσι καὶ ἀνέγκλητον διαμείναντα, ᾧπερ ὁ
Μονομάχος καὶ τὴν τῶν Μαγγάνων ἀνέθετο πρόνοιαν καὶ τὰ
B 10 *περὶ τῆς ἐλευθερίας αὐτῶν ἐνεπίστευσεν ἔγγραφα. ἅπερ ὑφ'*
ἑαυτὸν ὁ Κομνηνὸς ἐθέλων ποιήσασθαι σκέμμα τι μηχανᾶται
11 *πονηρίας ἀνάμεστον καὶ τόκον νοὸς κακοδαίμονος. ἐπεὶ γὰρ*
ὁ Λειχούδης ἐψήφιστό τε καὶ προκεχείριστο καὶ ἱερεὺς ἤδη
κεχειροτόνητο, δι' ἀπορρήτων αὐτῷ μηνύει λέγεσθαί τινα κατ'
αὐτοῦ ἀπείργοντα τοῦ ἱερᾶσθαι αὐτόν, καὶ εἰ μὴ ταῦτα λαλη-
θεῖεν συνοδικῶς, μὴ οἷόν τ' εἶναι τοῦ χρίσματος αὐτὸν τῆς
12 *ἀρχιερωσύνης τυχεῖν. "εἰ δὲ δοίης μοι" ἔφη "τῶν Μαγγάνων τὰ*
δικαιώματα, παραβλέψομαι τὰ λεγόμενα καὶ παραχωρήσω χρι-

4 *περὶ πατριαρχῶν καὶ* (om. C) *ὅπως τὰ δικαιώματα τῆς ἐλευθερίας τῶν Μαγγάνων ἔλαβεν ὁ βασιλεὺς ἐκ τοῦ Λειχούδη* CE

3 *ἀδελφιδοὺς* AOwp, *ἀδελφιδοῦς* E*Di*, v. ad XVIII 3, 18 4 *ἀποκατέστησεν εἰς* (*ἐς* w*p) BCwp *προτέρας* Rwp*Di*, v. ad p. 428, 7 6 *ἀντικατέστησεν* AR, *ἀντεκατέστησεν* D (v. ad XVIII 8, 2. 21, 22. XVII 23, 21), *ἀντικατέστησε* Ewp*Di*, v. ad XIII 1, 5 6. 7 *διοικήσεσιν* ante *ἐπὶ* C 7 *διαπρέψαντα* DE *ἀνέκλητον* D 8 *καὶ* ante *τὴν* om. DE *ἀνέθετο πρόνοιαν* ARwp (v. Scylitz. p. 645, 1), *οἰκονομίαν ἀνέθετο* BC*Wo* lat. 9 *ἐπίστευσεν* E *ἃ* BC 10 *θέλων* C 12 *προκεχείρηστο* Ewp 14 post *λαληθεῖεν* add. *καὶ λυθεῖεν* (*ληθεῖεν* E, corr. Ew) Rwp, v. Scylitz. p. 645, 7 15 *τε* Ewp*Di* 16 *μοί* p*

mutata sententia eiulavit eiusque corpus ab exilio revocatum in
monasterio ab illo condito honorifice reposuit, nepotibus eius pri-
9 stina dignitate restituta. Ecclesiae vero praesidem et protovestia-
rium Constantinum Lichudem praefecit, virum longum per tempus
in administrandis rebus communibus cum laude versatum spectataeque fidei, cui Monomachus etiam Manganorum cura commissa
10 tabulas de illorum immunitate commiserat. Quas cum sibi vindi-
care Comnenus conaretur, commentum improbitatis plenum ex-
11 cogitat ac partum quendam diabolicae mentis edit. Nam cum
Lichudes per suffragia electus ac sacerdos iam creatus esset,
arcano eum monet dici quaedam, quae a patriarchali officio illum
arcerent, quae nisi in synodo agitarentur, eum pontificem ungi
12 non posse. "Verum si mihi tradideris" inquit "Manganorum

σθῆναί σε." συνιδὼν οὖν ὁ Λειχούδης ὡς οὐκέτι αὐτῷ εἰς 13
D IV 195 τὴν προτέραν ἐπανελθεῖν κατάστασιν ἔξεστιν, οὕτω δὲ μένειν
δι' αἰσχύνης ποιούμενος, φέρων δίδωσι τὰ αἰτούμενα, καὶ οὕτω C
παραχωρεῖται τελεσθῆναι τὴν ἀρχιερατικὴν τελετήν.
Ὁ δὲ Κομνηνὸς κατὰ τῶν Οὔγγρων καὶ τῶν Σκυθῶν, 6
οἳ Πατζινάκαι λέγονται, ἐκστρατεύσας τοῖς μὲν Οὔγγροις εἰρήνην
αἰτησαμένοις ἐσπείσατο. κατὰ δὲ τῶν Σκυθῶν ὁρμήσαντι οἱ 2
μὲν ἄλλοι ὑπέκυψαν καὶ εἰρήνευσαν (οὐ γὰρ ὑφ' ἕνα πάντες
ἡγεμόνα ἐτάττοντο), εἷς δ' αὐτῶν ὁ Σελτὲ θρασυνθεὶς καὶ μοίρᾳ
τινὶ τῆς τῶν Ῥωμαίων δυνάμεως συμβαλὼν ἥττητο καὶ τὸ πολὺ
τῶν οἰκείων ἀποβαλὼν μετὰ τῶν περιλειφθέντων ἀπέδρα. ἀνα- 3
ζευγνὺς δ' ἐκεῖθεν ὁ βασιλεὺς ἐσκήνωσεν ἐν τῷ Λοβιτζῷ, ἤδη D
τοῦ τέλους ὄντος ἐγγὺς τοῦ Σεπτεβρίου μηνός. ὄμβρου δὲ 4
ῥαγδαίου καταρραγέντος καὶ χιόνος πεσούσης πρὸ ὥρας πολλῆς,
τῆς ἵππου τε τὸ πλέον διέφθαρτο καὶ στρατιῶται πολλοὶ τῷ W III 215
ψύχει κεκινδυνεύκασι, καὶ ποταμοὶ δ' ὑπερχειλεῖς γεγονότες καὶ
πελαγίσαντες τὰ ἐπιτήδεια σφῶν ἀθρόον παρέσυραν, ὡς καὶ
τῷ στρατιωτικῷ καὶ τοῖς ὑποζυγίοις αὐτοῦ τὰ ἀναγκαῖα ἐπι-

5 ὅτι ἐξεστράτευσεν ὁ βασιλεὺς (ἐκστρατεία C) κατὰ τῶν Οὔγγρων καὶ Πατζινάκων CE

6 πατζινάκοι B   8 post ἕνα add. καὶ p* invitis ARw   9 σελτὲ RwpDi Scylitz. p. 646, 2, σελὲτ D, σελ^τ A   10 τὸ om. BC τὸ πολὺ] πολοὺς ex πολὺ mut. B   11 περιληφθέντων (sic) A 12 λοβιτζῷ Rw Scylitz. p. 646, 10, v. Ann. Comn. I p. 167, 13, Glyc. p. 602, 11, Ephraem. 3252, Λοβίτζῳ p, λυβιστῷ ADi   13 ὄντος om. C   σεπτεμβρίου BCwp, v. ad XVI 17, 37

privilegia, criminationes illas neglegam neque impediam, quo-
minus ungare." Lichudes qui videret non licere sibi ad pristinam 13
conditionem redire, sic vero manere turpe esse, propere allatis
iis quae petebantur, nemine obstante, pontificio ritu initiatur.
6. Posthaec Comnenus, expeditione contra Ungros et Scythas,
qui Patzinacae dicuntur, suscepta, Ungris petentibus pacem con-
cessit, Scythas vero aggressuro ceteri quidem cessere, pacem et 2
ipsi amplexi (neque enim eidem omnes duci parebant), unus vero
inter eos Seltes, ceteris audacior, cum parte quadam Romanorum
copiarum congressus vincitur et plurimis de suis amissis cum
reliquis aufugit. Rex autem castris inde motis sub exeuntem 3
mensem Septembrem Lobitzum concessit; ubi vehementi imbre 4
et nive intempestiva ac maxima plurimi equi perierunt multique
milites ex frigore sunt periclitati, cumque flumina exundantia
et stagnantia commeatum subito intercepissent, et homines et

5 λιπεῖν. εἶτα τοῦ ὕειν τε καὶ τοῦ νίφειν ἐπὶ μικρὸν πανθέντων
P II 271 A τῆς βασιλείου σκηνῆς προῆλθεν ὁ βασιλεὺς καὶ ὑπὸ δρῦν ἔστη
παμμεγέθη, ἐκεῖ που ἑστῶσαν· καί τινες τῶν ἐν ὑπεροχαῖς
6 αὐτὸν περιίστανται. βοῆς δ' ἐν τῷ τόπῳ συμβάσης, μετέστησαν
τῆς δρυὸς ὁ βασιλεύς τε καὶ οἱ περὶ αὐτόν, ἡ δ' αὐτίκα ῥιζό-
7 θεν ἐκσπασθεῖσα κατέπεσεν. ὁ δὲ αὐτοκράτωρ ἐπανελθὼν εἰς
τὴν μεγαλόπολιν καὶ ἀποτιννὺς ὑπὲρ τῆς σωτηρίας ταύτης τὰ
χαριστήρια τῷ θεῷ ναὸν ἐντὸς τῶν βασιλείων ἀνήγειρε τῇ πρω-
8 τομάρτυρι Θέκλᾳ· κατὰ τὴν ἡμέραν γάρ, ἐν ᾗ τελεῖται ἡ μνήμη D IV 196
ταύτης, τὸν ἐκ τῆς δρυὸς ἐξέφυγε κίνδυνον.

B 7 Ἀλλ' ἤδη ῥητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέθετο, εἰ καὶ
2 μὴ συμφωνοῦσιν οἱ συγγεγραφότες περὶ αὐτοῦ. ὁ μὲν γὰρ
πολὺς τὴν γλῶτταν Ψελλὸς ἐν θήραις ἐκεῖνον λέγει τὸν βασι-
λέα σχολάζοντα καὶ συχνάκις τὴν δεξιὰν λογχοφόρον ἐπ' ἄρκτους
καὶ σύας ἐπανατείνοντα βληθῆναι πνεύματι ψυχρῷ τὴν πλευράν,
κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ καὶ πυρετὸν ἐκ τοῦ βάθους
3 ἀναφλεγῆναι, εἰς δὲ τὴν ἐπιοῦσαν νύττεσθαι τὴν πλευρὰν καὶ

1 *ὅπως τὸν ἐκ τῆς δρυὸς κίνδυνον ἐξέφυγεν ὁ βασιλεὺς καὶ οἱ περὶ αὐτόν* CE 11 *ὅπως τὴν βασιλείαν ἀπέθετο ὁ Κομνηνὸς καὶ ἐμόνασε, τὸν Δοῦκαν* (*δούκαν* C, v. ad XVII 14, 24) *προχειρισάμενος βασιλέα* CE

2 *ὑπὸ δρῦν*] *ὑποδρᾶν* D 4 *περιίσταντο* BC 6 *ἐκπαθεῖσα* D *δ'* Rwp*Di* 7 *μεγάλην πόλιν* Ewp 8 *τῷ θεῷ χαριστήρια* Rwp post *πρωτομ.* add. *ἁγία* E(wp) 9 *γὰρ* post *κατὰ* BC 10 post *κίνδυνον* add. *ναὸν δὲ πολλὴν κατηγοροῦντα τῆς ἐκείνου προαιρέσεως μικροπρέπειαν· ὃν ὁ ἐκείνου καθελὼν ἐξανέψιος ὁ αὐτοκράτωρ ἰωάννης, ὁ τοῦ ἀλεξίου υἱός, σφόδρα μεγαλοπρεπῶς ἀνεδομήσατο εἰς ὄνομα τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ* BCwp, v. praef. 11 post *ἀπέθετο* add. *οὗτος ὁ ἰσαάκιος* BCwp 12 *συμφρονοῦσιν* C^{s}wp*Di* 13 post *γλῶτταν* add. *ὁ σοφώτατος* Ewp, v. ad XVIII 3, 2 14 *καὶ* om. D 15 *ἀνατείνοντα* B 16. 17 *κἀντεῦθεν—πλευρὰν* om. D 16 *φρίκην* om. C

5 iumenta rerum necessariarum penuria laboraverunt. Ceterum
pluvia et nive paullisper sedata, rex tabernaculo egressus sub
magnam quandam quercum in proximo concessit, circumstanti-
6 bus procerum quibusdam. Orto autem eo loco fragore, et ipse
rex et sui inde discesserunt, atque arbor statim radicitus evulsa
7 concidit. Reversus igitur imperator in magnam urbem ad grates
ob salutem acceptam deo persolvendas intra palatium Theclae
8 protomartyris aedem condidit, quod eo die, quo illius memoria
celebratur, illud periculum effugerat.

7. Nunc illud dicendum est, quemadmodum regnum depo-
2 suerit, etsi scriptores hac de re non consentiunt. Nam Psellus, vir
ille eloquentissimus, narrat illum venationibus deditum, cum hasta
saepe et ursos et apros feriret, frigido vento esse ictum latere,
3 atque inde perfrixisse et febrim ex imo efferbuisse. Postridie

τὸ ἄσθμα μὴ ἐρρῶσθαι αὐτῷ, κἀκ τούτων ἀμφισβητήσιμον
γενόμενον τὸ βιωσόμενον ἢ καὶ ἀπεγνωκότα τέλεον τὴν ζωήν, C
καὶ τὸν Δοῦκαν Κωνσταντῖνον τῇ βασιλείᾳ ἐγκαταστήσαντα, πρὸς 4
τὴν κρείττω μετατάξασθαι βιοτήν. ὁ δέ γε Θρᾳκήσιος θηρᾶν 5
κἀκεῖνος τὸν βασιλέα ἱστόρησε περὶ τὴν Νεάπολιν, σῦν δ' ἐπι-
φανῆναί ποθεν τὴν θέαν φρικτόν, καὶ τὸν Κομνηνὸν ἐνδεδω-
κότα τῷ ἵππῳ τὸν χαλινὸν διώκειν τὸν σῦν, τὸν δὲ εἰσδῦναι
τὴν θάλασσαν γενέσθαι τε ἀφανῆ, ἐν τοσούτῳ δὲ ὡς ἐξ ἀστρα- 6
πῆς ἐνσκῆψαι λαμπηδόνα τῷ βασιλεῖ, καὶ τῇ ταύτης βολῇ δια-
ταραχθέντα τὸν αὐτοκράτορα τοῦ ἵππου τε ἐκπεσεῖν καὶ κεῖσθαι
παρὰ τῇ γῇ ἀφρὸν τοῦ στόματος ἀποπτύοντα καὶ μηδὲν τῶν
κατ' αὐτὸν αἰσθανόμενον, ἀκατίῳ δ' ἐκεῖθεν ἐμβιβασθέντα κο- 7 D
μισθῆναι εἰς τὰ βασίλεια καὶ νοσήσαντά τι βραχύ, εἶτα δὴ καὶ
ἀπογνωσθέντα, κείρασθαί τε τὴν τρίχα καὶ ἀντὶ τῆς πορφύρας
τραχὺ τριβώνιον ἀμφιέσασθαι, τὸν Δοῦκαν Κωνσταντῖνον βα-
σιλέα προχειρισάμενον, καὶ οὕτω τῇ τοῦ Στουδίου προσορμίσαι 8
μονῇ, κἀκεῖ τὸ λοιπὸν καταβιῶναι τῆς βιοτῆς ἀναρρωσθέντα
D IV 197 *ἐκ τοῦ νοσήματος. ἐβασίλευσε δὲ δύο ἐνιαυτοὺς καὶ μῆνας* 9

4 *περὶ τῆς νόσου τοῦ βασιλέως καὶ ὅτι ἀπεκάρη* E 18 *οἷος ἦν τὸ ἦθος ὁ Κομνηνός* CE

1 *ἄσθμα* C*Di*, v. XVIII 28, 14 *αὐτοῦ* DEwp 2 *τὸ βιωσύμενον* AD, *εἰ βιώσεται* Rwp*Di* post *βιωσόμενον* add. *καὶ πυρετὸν ἐκ τοῦ βάθους ἀναφλεγῆναι* D 3 *δούκαν* BC*Di*, *δοῦκα* D, v. ad XVII 14, 24 4 *κρεῖττο* p* *ὁ θρακήσιος δὲ* BC 5 post *βασιλέα* add. *τοῦτον* BCwp 8 *τε* Rwp*Di*, om. A post *ἀφανῆ* add. *ὃν οὐ σῦν οἱ πολλοὶ· φάντασμα δέ τι δαιμόνιον ὑπειλήφασιν* BCwp *δὲ* ARw, *δ'* p**Di* 11 *παρὰ* om. DE 15 *βραχὺ* D *ἀμφιάσασθαι* D *δοῦκαν* AD, *δούκαν* R, *δούκαον* w*, *δοῦκα* p*Di*, v. ad vs. 3

cum lateris doloribus urgeretur et spiritum aegre traheret, dubia
spe vitae ac potius plane desperata vita, Ducae Constantino regno 4
tradito, vitae melioris institutum amplexum esse. Thracesius 5
autem refert regi prope Neapolim venanti visum esse aprum
horrendum aspectu, quem dum laxatis equo habenis Comnenus
persequatur, in mare demersum evanuisse, atque interim fulgore 6
quodam instar fulguris perstrictum regem equo terrore excussum
et spumam ore reicientem humi attonitum iacuisse, atque inde 7
navicula in regiam vectum, cum paullisper aegrotasset, iam de-
ploratum, raso capillo et purpurae loco aspera lacerna sumpta
atque Duca Constantino rege designato, in Studiense monaste- 8
rium se contulisse, ubi recuperata etiam valetudine vitae reli-
quum exegerit. Regnavit biennium et menses tres, homo stre- 9

τρεῖς δραστήριος ὢν καὶ τὸ ἦθος σοβαρὸν ἐνδεικνύμενος, πρὸς
πράξεις ὀξύτατος, στρατηγικώτατος τὰ πολέμια, λόγοις μὲν οὐχ
ὡμιληκώς, προσέχων δ' αὐτοῖς καὶ τοὺς τούτων τροφίμους
Γ II 272 A 10 προσδεχόμενος. αἰτιώμενος δὲ ὅτι τυραννίδι ἐπικεχείρηκεν
"ὤκνουν" ἔλεγε "τῷ συνδούλῳ δουλεύειν καὶ τῶν εἰκότων μὴ
τυγχάνειν."

W III 216 8 Ὁ δὲ πρόεδρος Κωνσταντῖνος ὁ Δοῦκας τῆς βασιλείας
τυχὼν ἀπραγμόνως, ὡς εἴρηται, πολλοὺς τῶν τῆς συγκλήτου
βουλῆς καὶ τοῦ δημώδους πλήθους εἰς μείζονας ἀξιωμάτων
2 βαθμοὺς προεβίβασε. καὶ ὅσους δ' ὁ Κομνηνὸς ἀφείλετο τὰς
οἰκείας τιμάς (πολλοὶ δ' ἦσαν καὶ οὗτοι), εἰς ταύτας αὖθις
αὐτὸς ἐκείνους ἀποκατέστησεν.

B 3 Ἐπιβουλῆς δὲ κατ' αὐτοῦ συσκευασθείσης, μικροῦ δεῖν
4 ἐγένετο ἂν ὑποβρύχιος. ἦν μὲν γὰρ ἐν τοῖς βασιλείοις τῶν
Μαγγάνων, ἐσκέψαντο δὲ οἱ συνομοσάμενοι ὡς εἰ θόρυβος ἐν
τῇ τῆς πόλεως γεγονὼς ἀγγελθείη αὐτῷ ἀγορᾷ, αὐτίκα διὰ τῆς
5 θαλάσσης ἐκεῖνος ἀπελεύσεται πρὸς τὸ μέγα ἀνάκτορον. προ-

7 βασιλεία Κωνσταντίνου τοῦ Δούκα (δοῦκα D) AO 13 ἐπιβουλὴ κατὰ τοῦ βασιλέως καὶ ὅπως ταύτην διέφυγεν CE

4 ἀποδεχόμενος BCEwp*Di* post ἀποδεχόμενος add. σώφρων τε (om. BC) τὰ πρὸς εὐνήν. λέγεται γάρ ποτε νοσῆσαι (γὰρ νοσῆσαί ποτε BC) τῆς οἰκίας ἀποδημῶν, καὶ παρὰ τῶν ἰατρῶν γυναικὶ μιγῆναι πρὸς θεραπείαν τῆς νόσου προτρέπεσθαι, τὸν δὲ μὴ ἀνασχέσθαι ἑτέρᾳ πλησιάσαι παρὰ τὴν σύνοικον BCE(wp), v. praef. ὅτι] ὁ D ἐπικεχείρηκεν Rwp*Di*, ἐπικεχείρηκε AD, v. ad XIII 1, 5 5 μὴ ante τῶν BC 7 δὲ πρόεδρος A, πρόεδρος δὲ Ewp, πρόεδρος τοίνυν D, πρόεδρος R δούκας C*Di*, v. ad XVII 14, 24 11 καὶ om. B οὗτος D εἰς] καὶ D 12 ἐκεῖνος B ἀπεκατέστησεν D, v. ad XVIII 5, 9 14 | ὑποβρέφους D 15 συνωμοσάμενοι O 16 τῆς alterum om. D 17 ἀπελεύσεται ὁ κρατῶν BC 17. p. 675, 1 προωκονόμη τὸ δ' D

nuus, ingenio arroganti, in rebus gerendis celerrimus, rei bellicae
peritissimus, in litteris non quidem versatus, sed litterarum stu-
10 diosus et doctorum amans. Cum ei regni affectatio obiceretur,
"Dubitabam" inquit "conservo servire neque iusta consequi."

8. Praeses CONSTANTINVS DVCAS imperio nullo labore, ut
dictum est, potitus multos senatorii ordinis et plebeiae condi-
2 tionis ad altiores dignitatum gradus evexit; atque etiam quotquot
Comnenus honoribus spoliarat, qui multi fuerunt, in integrum
restituit.

3 Neque vero multum afuit, quin per insidias submergeretur.
4 Nam cum in Manganico palatio ageret, coniurati ratione inita,
si tumultus in foro urbano ortus nuntiaretur, eum mari in ma-
5 gnam regiam statim transiturum esse, curarant, ut regia triremis

ᾠκονόμητο δ' αὐτοῖς μὴ εἶναι τὴν βασιλικὴν τριήρη ἐκεῖ καὶ τοὺς
ἐκείνης οἰακοστρόφους, οὓς πρωτοκαράβους ἡ δημώδης λέγει
φωνή. ὁ μὲν οὖν βασιλεὺς ὡς τὸν θόρυβον ἠνωτίσατο, ἀπιέναι 6
δεῖν ἔκρινε τῶν ἀνακτόρων εὐθύ. ἐπεὶ δ' οὐχ εὕρηται ἡ βα- 7
σιλικὴ τριήρης ἐκεῖ, εἰς τὸ τυχὸν ἐμβεβήκει ἀκάτιον· ἀπιόντος
δὲ ἀνεφάνη καὶ ἡ ναῦς ἡ βασίλειος καὶ εἰρεσίᾳ πολλῇ σὺν ῥύμῃ
σφοδρᾷ τὸ ῥόθιον τέμνουσα πρὸς τὸ πλοιάριον, ὅπερ ὁ βασι- C
λεὺς ἐμβεβήκει, πρὸς τῶν πηδαλιούχων ἰθύνετο. ἦν δ' αὐτοῖς 8
τὸ βουλόμενον ἐπιβιβάσαι τὴν τριήρη τοῦ πλοιαρίου, ἵν' αὐτὸ
D IV 198 καταδύσῃ καὶ σὺν τῷ βασιλεῖ ποιήσηται ὑποβρύχιον. ὡς δ' 9
εἶδον τὴν τῆς τριήρους ἐπιφορὰν οἱ τῷ κρατοῦντι συμπλέοντες,
ἀνέκραξάν τε καὶ ἐπέχειν θρασύτερον ἐξεβόησαν καὶ μετατρέ-
πειν τοὺς οἴακας. ταῖς γοῦν ἐκείνων βοαῖς ὥσπερ ἐμβροντη- 10
θέντες οἱ ἐπὶ τῶν οἰάκων (θείας δ' ἦν τὸ ξύμπαν προμηθείας)
ἀπεδειλίασαν. καὶ οὕτως τὸν κίνδυνον ὁ βασιλεὺς ἐκφυγὼν 11
ὅπως τε καὶ παρ' ὧν ἡ ἐπιβουλὴ συνεσκεύαστο ἔγνω καὶ τοὺς
αἰτίους ἠμύνατο στερήσει μόνῃ τῶν οὐσιῶν.

Οὗτος ὁ βασιλεὺς ηὔχει μὲν ὡς ἐπὶ προγόνοις τοῖς πάλαι 12 D
τῇ τῶν δουκῶν κεκλημένοις ἐπωνυμίᾳ, τῷ Ἀνδρονίκῳ δηλαδὴ
καὶ τῷ Πανθηρίῳ καὶ ἐπὶ τούτοις τῷ Κωνσταντίνῳ. ἀλλὰ 13

1 τριήρει p* 2 ἐκείνη B οὓς om. D 3 post φωνὴ add. τῆς συνωμοσίας μετέχειν σπουδάσαντες Rwp 4 δεῖν om. D εὕρητο Rwp 7 σφοδρᾶ BC(wp*Di*) ὥπερ R(wp) 9 ἐπιβιβάσαι Rwp*Di*, ἐμβιβάσαι A πλοῖον B 9. 10 πλοιαρίου .... δύσῃ C, lac. suppl. Cw 11 φορὰν D 13 οὖν DEwp ἐμβροτη-θέντες D 14 οἱ om. E 15 οὕτω DEwp*Di*, v. ad XIII 6, 16 16 καὶ prius om. E 17 μόνῃ om. BC 18 ηὔχει μὲν οὖν οὗτος ὁ β. BC

eiusque gubernatores, qui protocarabi vulgo nominantur, illic
abessent. Audito tumultu rex recta in regiam abeundum esse 6
censuit. Sed cum regia triremis illic non inveniretur, proximum 7
lembum conscendit; inter navigandum vero navis quoque regia
apparuit, quae frequenti remigio et impetu fluctus vehementer
secans a gubernatoribus recta ad lembum dirigebatur, eo con- 8
silio, ut illo suppresso rex demergeretur. Iis vero, qui cum eo 9
vehebantur, exclamantibus et confidentius vociferantibus, ut in-
hibitis remis gubernacula converterent, gubernatores velut atto- 10
niti, deo ita volente, paruerunt. Sic periculo evitato rex, quo 11
pacto et a quibus paratae essent insidiae, cognovit ac sontes
bonis dumtaxat ademptis ultus est.

Etsi autem ex veterum Ducarum Andronici et Pantherii et 12
Constantini familia se ortum esse gloriabatur, tamen eam familiam,
cum Constantinus, ut dictum est, regnum affectasset, Constantino 13

*τοῦ γένους ἐκείνων πάλαι πανοικὶ ἐξολοθρευθέντος, ὅτε Κων-
σταντῖνος τυραννίδι ἐπικεχείρηκεν, ὡς ἔμπροσθεν εἴρηται, τοῦ
πορφυρογεννήτου Κωνσταντίνου τοῦ παιδὸς τοῦ ἄνακτος Λέοντος,
τοῦ φιλοσόφου φημί, βασιλεύοντος καὶ ὑπὸ ἐπιτρόπους τελοῦντος
ἔτι διὰ τὴν νηπιότητα, καὶ μηδενὸς ἄρρενος περιλειφθέντος, ἐκ
14 θηλείας οἱ τούτου κατήγοντο πρόγονοι, ὅθεν οὐδὲ Δοῦκας λε-
λόγιστο καθαρός, ἀλλ' ἐπίμικτος καὶ κεκιβδηλευμένην ἔχων
τὴν πρὸς τοὺς Δούκας συγγένειαν.*

P II 273 A 15 *Ἦν δὲ ὁ ἀνὴρ τὰ πρὸς θεὸν εὐσεβής, τὸ ἦθος ἐπιεικής,
δικαιοσύνης ἐραστής, τὴν γνώμην δὲ νωθρὸς καὶ ἀμβλύς, χαί-
ρων τοῖς ἐπὶ βίου μαρτυρουμένοις σεμνότητι, ἐκτόπως δ' ἐρα-
σιχρήματος καὶ πόρους ἐπινοῶν ὅπως αὐτῷ γένοιντο πολλοὶ
16 θησαυροί. ὅθεν καὶ πρὸ πάντων εἰς δύο ταῦτα κατέτεινε τὴν
σπουδήν, εἴς τε τὴν τῶν δημοσίων φόρων ἐπαύξησιν (διὸ καὶ
τὰ ἀρχεῖα τὰ τοὺς φορολόγους λογοπραγοῦντα ὠνητὰ παρεῖχε
τοῖς βουλομένοις καὶ τελώναις τὴν συλλογὴν τῶν φόρων ἐπὶ* D IV 19

9 *οἷος ἦν ὁ Δοῦκας (δούκας* CE) *τοὺς τρόπους* CE

1 *ἐκείνων* om. E post *ὅτε* add. *ὁ* Rwp 2 *ἐπικεχείρηκεν* Rwp*Di*, *ἐπικεχείρηκε* A, v. ad XIII 1, 5 *ἔμπροσθεν*] XVI 16, 8 4 *ἐπὶ τρό|πους* (sic) A 5 *περιλειφθέντος* Rwp*Di*, *περιληφθέντος* A 6 post *θηλείας* add. *τινός, ὡς λόγος* BCwp*Di* *οὔθεν* w*p *δούκας* ARwp*Di*, *δοῦκας* D, v. ad XVII 14, 24 7 *κεκιβδηλευμένην* Rwp*Di*, *κιβδηλευμένην* A, *κηβδηλεμένην* | D 8 *τὴν* om. DE post *συγγένειαν* add. *διὸ καὶ τοῖς πλείοσιν οὐ δούκας, δουκίτζης δ' ὑποκοριζόμενος ἐπωνόμαστο* BCwp 10 *ἄμβλυς* D 11 *δὲ ῥασιχρήματος* D 12. 13 *ὅπως—θησαυροί* om. D 12 *γένοιντο αὐτῷ* C 14 *τε* post *τήν* BC 15 *ἀρχαῖα* D *λογοπραττοῦντα* w*p invitis AR

Porphyrogenito, imperatoris Leonis philosophi filio, regnante et ob immaturam aetatem sub tutoribus tum agente, funditus eversam esse constat, nullo mare relicto; huius igitur maiores a fe-
14 mina originem duxerunt, ita ut non germanus Ducas censeretur, sed promiscuus, cognatione illa velut adulterata.
15 Ceterum vir pius erat erga deum, moribus commodis, iustitiae amans, sed ingenio tardo et hebeti; et ut iis delectabatur, quorum spectata erat integritas, ita pecuniam supra modum amabat et rationes excogitabat, quibus magnos thesauros coa-
16 cervaret. Quamobrem duabus rebus enixe operam dabat, quarum una erat, ut publica vectigalia augeret (ea de causa curias rationibus quaestoriis destinatas quibusvis vendebat et vectigalium collectionem publicanis cum pacto credebat), altera, ut controversias

συνθήκαις ἐπίστευε) καὶ εἰς ἀκροάσεις δικῶν. οὐ πάνυ δὲ τῇ 17 B
ἀκριβείᾳ προσεῖχε δικάζων, ἀλλ' ἐνιαχοῦ καὶ ἐνηυθέντει καὶ
τὰς ψήφους ὑπήλλαττε, πρὸς τὰ πρόσωπα τὰς ἀποφάσεις τι- W III 217
θέμενος. γλίσχρος δὲ τυγχάνων καὶ φειδωλὸς ἔθετο παρ' ἑαυτῷ 18
μὴ μάχαις πρὸς τὰ ἔθνη συρρήγνυσθαι, ἀλλὰ δώροις καὶ φι-
λοφροσύναις ἄλλαις αὐτὰ οἰκειοῦσθαι καὶ καταλλάττειν τῇ Ῥω-
μαίων ἀρχῇ, δύο ταῦτα ἐντεῦθεν μνώμενος ἑαυτῷ, τό τε μὴ 19
πλείω δαπανᾶν ἐν ἐκστρατείαις καὶ τὸ αὐτὸς ἠρεμεῖν καὶ σχο-
λάζειν ὡς ἐπίπαν τῇ τῶν χρημάτων συλλογῇ· διὸ καὶ τῶν 20
στρατιωτικῶν καταλόγων ἠμέλησεν ἢ μᾶλλον πολλοὺς καὶ τοὺς C
γενναιοτέρους τῶν ἀπογραφῶν ἀπήλειψε διὰ τὸ βαρύμισθον·
ὥστε συμβαίνειν θρασύνεσθαι μὲν τὸ βαρβαρικόν, συστέλλεσθαι 21
δὲ καὶ ταπεινοῦσθαι τὰ τῶν Ῥωμαίων στρατεύματα καὶ μειοῦ-
σθαι τὴν ἡγεμονίαν τὴν Ῥωμαϊκήν. πολλαὶ γὰρ τότε τῶν ἑῴων 22
χωρῶν αἳ μὲν ἐληίζοντο καὶ εἰς ἀφανισμὸν προεχώρουν, αἳ
δὲ καὶ ὑπὸ τοὺς πολεμίους ἐγίνοντο.

4 *ὅτι ἐκ φειδωλίας δώροις ἤθελε φιλιοῦν τῇ Ῥωμαίων ἀρχῇ* C

1 post *συνθήκαις* add. *προςθηκῶν* Owp *ἐνεπίστευε* Rwp *κ. εἰς ἀκρ. δικῶν*] *πρῶτον μὲν οὖν τοῦτ' ἐκείνω ἦν σπούδασμα· δεύτερον δὲ δικῶν ἀκρόασις καὶ ψηφίσματα* O(wp) *οὐ πάνυ δὲ*] *καὶ οὐ πάνυ* D 3 *ἀποφάσεις* Rwp*Di*, *ἀποβάσεις* A 7 *ἐντεῦθεν ταῦτα* Cwp 7. 8 *δύο—ἐκστρατείαις* om. E 7 *ἑαυτῶ* R(wp*Di*), *αὐτῷ* A 8 *ἐν* om. B 9 *ὡς* om. D *τῇ* post *χρημάτων* BCE(wp) 11 *πολύμισθον* D 12 *συμβαίνειν—μὲν* om. C, suppl. Cw 13 *καὶ ταπεινοῦσθαι* AR, *καταπεινοῦσθαι* D, *καὶ καταπονεῖσθαι* Ewp 13. 14 *τ. ἡγεμονίαν* post *στρ. καὶ* O 15 *προυχώρουν* R(wp*Di*)

audiret. Neque vero in iure dicendo legum praescripta semper 17
observabat, sed alicubi etiam erat pro ratione voluntas, ut com-
mutatis calculis in pronuntiando personarum rationem haberet.
Iam ut erat tenax et parcus, secum constituit bellis conflictari 18
nolle, sed gentes muneribus et aliis obsequiis devincire et Ro-
mano imperio reconciliare. Qua re duo commoda venabatur, 19
alterum, ne plura in expeditionibus consumeret, alterum, ut per
summum otium cumulandis thesauris operam daret. Ita fiebat, 20
ut militares catalogos neglegeret ac potius fortissimos quosque
ob stipendii magnitudinem deleret. Unde barbari ferociores eva- 21
debant, Romanae vero legiones timidiores et humiliores, atque
imperium minuebatur Romanum. Nam multae tum orientales pro- 22
vinciae partim diripiebantur et vastabantur, partim ab hostibus
occupabantur.

9 Καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχον κακῶς,
τὰ δ' ἑσπέρια καὶ ταῦτα κακῶς ἔπασχε διὰ στρατιωτῶν καὶ
2 σπάνιν καὶ ἀχρειότητα. τοῦ γὰρ τῶν Οὔζων ἔθνους (Σκύθαι
D δὲ τοῦτό ἐστι τῶν Πατζινάκων καὶ κατὰ γένους ὑπεροχὴν καὶ
κατὰ πλήθους ὑπερβολὴν παρὰ τοῖς Σκυθικοῖς προτιμώμενον
ἔθνεσι) τὸν Ἴστρον παγγενῇ διαβαίνοντος, ἐπειράθησαν μὲν οἱ
τῶν παριστρίων πόλεων ἄρχοντες (ἦσαν δὲ οὗτοι ὁ μάγιστρος
Νικηφόρος ὁ Βοτανειάτης καὶ ὁ μάγιστρος Βασίλειος ὁ Ἀπο-
κάπης) ἀπεῖρξαι αὐτοῖς τὴν διάβασιν, οὐ μέντοι γε ἠδυνήθησαν.
3 ἀλλὰ συμμίξαν σφίσι τὸ βάρβαρον τήν τε συνοῦσαν αὐτοῖς κατ-
ηγωνίσατο στρατιὰν καὶ τοὺς εἰρημένους ἄνδρας καὶ ἄμφω D IV 200
δορυαλώτους ἀπήγαγον καὶ διαβάντες τὸν Δάνουβιν τὴν περὶ
4 αὐτὸν χώραν ἐπλήρωσαν ἅπασαν. ἦσαν γάρ, ὡς λόγος, ὑπὲρ
ἑξήκοντα χιλιάδας οἱ αἴρειν ὅπλα δυνάμενοι· ὅθεν ὁρμώμενοι
P II 274 A τήν τε Μακεδονίαν ἐληΐζοντο καὶ μέχρις Ἑλλάδος προήεσαν.
5 ταῦτα ἀθυμίαν ἐνεποίει τῷ βασιλεῖ, συλλέξαι δὲ δυνάμεις ὤκνει
6 καὶ ἀνεβάλλετο, ἵνα μὴ πρόηται ὀβολόν. ἐκεῖνος δ' ἔλεγεν ὅτι
ἀκαταγώνιστον τὸ ἔθνος ἐστί· πρέσβεις δὲ πρὸς τοὺς αὐτῶν

3 περὶ τοῦ ἔθνους τῶν Οὔζων C, περὶ τοῦ τῶν Πατζινάκων ἔθνους καὶ ὅπως ἀπώλετο E

4 δὲ AR, δὲ καὶ C, καὶ Bwp γένος C, corr. Cw 5 πλῆθος C, corr. Cw 6 οἱ] οὐ E 7 δ' R^{s}wp*Di* 10 τὸν C, τὸ corr. Cw κατηγωνίσαντο DE 12 δοριαλώτους *Di*, v. ad XIII 8, 3 δάννουβιν BEw, δούναβιν duoP 13 αὐτὸν Rwp*Di*, αὐτῶν AC ἐπλήρωσεν C ὁ λόγος Ewp, ὁ πολὺς λόγος BC*Wo* lat. ὑπὲρ AD, ὑπὸ Rwp*Di* 14 χιλιάδες C δυνάμεις (punctis notatum) D 15 προςήεσαν D 17 δὲ C 18 αὐτῶν Rwp*Di*, αὐτὸν A

9. Sicut in Oriente, ita in Occidente omnia male se habebant
2 ob militum et paucitatem et ignaviam. Uzos enim (est autem
haec Scythica gens, quae Patzinacis et generis praestantia et
multitudine inter populos illos antefertur) Istrum cum uxoribus
et liberis traicientes magister Nicephorus Botaniates et magister
Basilius Apocapes, finitimarum urbium praefecti, transitu pro-
3 hibere frustra conati, victis legionibus, ambo capti sunt et abducti
a barbaris, qui Danubio superato omnem eius tractum comple-
4 verunt. Nam dicunt eorum, qui arma ferre possent, ultra LX
milia fuisse; inde progressi ex Macedonia praedas agebant et in
5 Graeciam usque penetrabant. Quae etsi regi molesta erant,
6 tamen conscribere copias dubitabat, ne obolum impenderet; sed
cum dicere soleret gentem illam non posse superari, per legatos
missis muneribus pacem ab eorum ducibus redimere studebat.

ἡγεμονεύοντας ἐσταλκὼς μετὰ δώρων ἐπειρᾶτο τούτοις πεῖσαι
τὸ βάρβαρον σπείσασθαι. πάντων δὲ ἀναφανδὸν λοιδορουμένων 7
τῷ βασιλεῖ ὡς διὰ φειδωλίαν μὴ κατὰ τῶν βαρβάρων ἐπεξιόντι,
τῆς μὲν πόλεως ἐξεδήμησε, περὶ δὲ Χοιροβάκχους ἐσκήνωσεν,
οὐ πλείους, ὡς λέγεται, τῶν ἑκατὸν πεντήκοντα μεθ' ἑαυτοῦ
ἐπαγόμενος, φροντίζων δὲ περὶ στρατεύματος συλλογῆς. ἐν
τούτοις δ' ἠγγέλη αὐτῷ ἡ τοῦ ἔθνους καταστροφή. ἐνσκήψαντος 8 B
γὰρ ἐκείνῳ λοιμοῦ, καὶ κακωθέντι σφοδρῶς ἐξ αὐτοῦ οἵ τε
Πατζινάκαι καὶ οἱ παρακείμενοι Βούλγαροι ἠσθενηκότι ἐπέθεντο
καὶ ἄρδην αὐτὸ διεφθάρκασι, μόλις τῶν ἡγεμόνων μετ' ὀλίγων
δυνηθέντων διαβῆναι τὸν Ἴστρον. ἦν δὲ τὸ σύμπαν τοῦ στρα- 9
τηγήματος τῆς θείας δυνάμεως· ἀπογνοὺς γὰρ ὁ βασιλεὺς πάν-
τοθεν πρὸς τὸ θεῖον κατέφυγε, δάκρυσι καὶ συντριβῇ καρδίας
τούτου δεόμενος καὶ τὴν ἐκεῖθεν ἐκκαλούμενος ἀρωγήν.

Ταῦτα δ' ἐν τῷ ἕκτῳ ἔτει ἐπράχθη τῆς βασιλείας τούτου 10
τοῦ αὐτοκράτορος. πρὸ δὲ τούτου σεισμὸς ἐγένετο μέγας κατὰ 11
τὴν κγ' τοῦ Σεπτεβρίου μηνός, ὑφ' οὗ καὶ ναοὶ καὶ οἰκίαι C

15 *περὶ σεισμοῦ καὶ ἀστέρος* (*κ. ἀστ.* om. C) CE

1 *μετὰ δώρων ἐσταλκὼς* Ewp 2 *τὸ* AR, *τὸν* w*p *δ'* B *δο-ρουμένων* | D 3 *φειδολλίαν* p* 4 *ἐξεδ. μὲν τῆς πόλεως* BC 5 ante *τῶν* add. *στρατιώτας* Rwp *ἑαυτῷ* C, corr. Cw 6 post *ἐπαγόμενος* distinguunt w*p *συλλογὴν* B post *συλλογῆς* distinguit *Di* 7 *ἠγγέλλη* A, *ἠγγέλη* R*Di*, *ἠγέλη* C, *ἠγγέλθη* w*p, v. I p. 109, 21. 116, 8. 134, 22 cet. post *ἔθνους* add. *ἄφνω* BC*Wo* lat. 8 *λιμοῦ* mutat ex *λοιμοῦ* C *καὶ* Rwp*Di*, om. A 9 *πατζικάνοι* (sic) E 12 *πανταχόθεν* DEwp 13 post *δάκρυσι* distinguunt w*p 14 *καὶ* om. C, suppl. Cw 15 *τ. βασιλείας ἐπράχθη τούτου* Rwp, *τ. βασιλείας τούτου ἐπράχθη* C 16 *πρὸς* E *δὲ* post *τούτου* C 17 *εἰκοστὴν τρίτην* Rwp*Di* *σεπτεμβρίου* Bˢwp, v. ad XVI 17, 37

Sed cum rex palam ab omnibus conviciis laceraretur, quod reten- 7
tus tenacitate contra barbaros non proficisceretur, urbem egressus
ad Choerobacchos castra fecit, cum non plures, ut fertur, CL
secum haberet conscribendarum copiarum studiosus. Tum ei
gentis illius nuntiatur excidium. Nam cum illi saevissima pesti- 8
lentia graviter essent afflicti, Patzinacae et Bulgari finitimi de-
bilitatos aggressi funditus deleverunt, ducibus cum paucis aegre
ultra Istrum elapsis. Fuit autem tota res divinae potentiae; nam 9
rex omni humana ope desperata ad deum confugerat, cum lacri-
mis et animo submisso illius auxilium flagitans.

Haec sexto eius regni anno acta sunt; quem magnus terrae 10. 11
motus die XXIII. mensis Septembris antecessit, quo et templa et

12 πολλαχοῦ ἠρειπώθησαν. ὅτε καὶ τὸ κατὰ Κύζικον Ἑλληνικὸν
κατέπεσε τέμενος, ἔργον κάλλιστόν τε καὶ θαύματος ἄξιον, καὶ D IV 201
ὁ ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων μέγιστός τε καὶ περιώνυμος
κατεσείσθη ναός.

13 Κατὰ δὲ τὸν Μάϊον μῆνα τῆς δ' Ν κομήτης ὤπτο ἀστὴρ
14 κατόπιν τοῦ ἡλίου πρὸς δύσιν ἰόντος. ἦν δὲ πρότερον μὲν
κατὰ σελήνην πλήρη τὸ μέγεθος, εἶτα κόμην ὥσπερ ἐκφύων
ἐμειοῦτο καὶ καθ' ὅσον τὰ τῆς κόμης ηὐξάνετο, ἠλαττονοῦτο
W III 218 15 τὸ μέγεθος. πρὸς δὲ τὴν ἀνατολὴν τὰς ἀκτῖνας ἀπέτεινεν, ἐφ'
D ἡμέρας φαινόμενος τεσσαράκοντα.
16 Τοῦ πατριάρχου δὲ Κωνσταντίνου τοῦ Λειχούδη ἐπ' ἔτη
τέσσαρα καὶ μῆνας ἓξ τὴν ἐκκλησίαν ἰθύναντος καὶ μεταθε-
μένου πρὸς ἑτέραν ζωήν, Ἰωάννης ὁ Ξιφιλῖνος εἰς τὸν ἀρχιε-
17 ρατικὸν τῆς Κωνσταντίνου θρόνον ἀνάγεται, ὃς ἐκ Τραπεζοῦντος
μὲν ὥρμητο, πεπαίδευτο δὲ παιδείαν λόγων παντοδαπῶν καὶ
18 τοῖς ἐξόχοις τῆς συγκλήτου συνηρίθμηται. πάντα δ' ἑκουσίως
λιπών, τοῖς κατὰ τὸν Ὄλυμπον προσφοιτήσας σεμνείοις κείρεταί
τε τὴν κόμην καὶ τὸν μοναχικὸν ὑπέρχεται βίον, ἔνθα καὶ

11 περὶ πατριαρχῶν CE

2 ante κάλλ. add. γὰρ C τε om. C θαυμάσιον C ante καὶ alterum add. ὅτε C 5 μαΐον p* τετάρτης ἰνδικτιῶνος OwpDi, ιδ' ἰνδικτιῶνος Scylitz. p. 658, 7 vix recte; cum Zonara facit Mich. Attaliot. p. 91, 17 6 ἰόντας E 9 ἀκτίνας AR, ἀκτῖνας B^{s}wpDi 10 ἡμέραις B 14 κωνσταντινουπόλεως Ewp 16 post συγκλήτου add. βουλῆς Rwp συνηρίθμητο RwpDi δὲ EwpDi 17 post λιπὼν add. καὶ BCwp μοναστηρίοις BC κείρ^{ε}ηται D 18 τε om. BC μοναχικὸν RwpDi, μοναδικὸν BC, μονα^{δ}χικὸν A

12 aedes multis locis conciderunt. Tum Cyzici gentile fanum, opus
pulcherrimum et admirandum, corruit, et Nicaeae sanctorum
patrum maximum et celebre templum deiectum est.
13 Mense vero Maio, quarta indictione, stella crinita apparuit
14 solem occiduum sequens; quae principio magnitudine lunae ple-
nae par, deinde veluti coma enata minuebatur ac tantum de-
15 crescebat, quantum illa augebatur. Conspectus est per dies XL,
radiis Orientem versus conversis.
16 Cum patriarcha Constantinus Lichudes, ecclesia per annos
IV et menses VI gubernata, in alteram migrasset vitam, Ioannes
17 Xiphilinus in pontificiam Cpoleos sedem evehitur, Trapezunte
ortus, vir omni doctrinae genere eruditus et in praecipuos sena-
18 tores relatus. Qui omnibus rebus sua sponte relictis, coma rasa,

συχνὸν διανύσας χρόνον ἄξιος ἐκρίθη τοῦ θρόνου τοῦ πατρι-
αρχικοῦ.
Ὁ δέ γε βασιλεὺς νόσῳ ληφθεὶς καὶ ταύτῃ κάμνων ἐπὶ 19
μακρὸν καὶ ταλαιπωρούμενος καὶ ἤδη κατεργασθεὶς καὶ ἀπαρ- P II 275 A
αίτητον αὐτῷ γνοὺς ἐπιέναι τὴν τελευτήν, τὴν μὲν βασιλείαν
τοῖς υἱοῖς αὐτοῦ καταλέλοιπε τρισὶν οὖσιν, οὓς αὐτῷ ἡ σύνοι-
κος Εὐδοκία ἐγείνατο, τοὺς δύο τὸν Μιχαὴλ τε καὶ τὸν Ἀνδρό-
νικον ἰδιωτεύοντι ἔτι, τὸν δὲ Κωνστάντιον βασιλεύσαντι καὶ
αὐτὴ Αὐγούστα ἀναρρηθεῖσα. ὅθεν οὗτος καὶ πορφυρογέννητος 20
ἦν, ὃν αὐτίκα καὶ πρὸ τῶν ἄλλων τοῖς βασιλικοῖς παρασήμοις
ἐκόσμησεν, εἶτα καὶ τοὺς λοιποὺς ἀνηγόρευσε. τούτους μὲν οὖν 21
D IV 202 *ἐπέστησε τῇ ἀρχῇ, αὐτοῖς δὲ τὴν μητέρα βασιλίδα τε καὶ τρο-*
φὸν καὶ κυρίαν, τὸ ξύμπαν εἰπεῖν, καταλέλοιπεν, ἐπ' αὐτῇ τὴν
τῆς βασιλείας μεταχείρισιν ποιησάμενος, δοκούσῃ αὐτῷ σώφρονί B
τε καὶ πρὸς παίδων ἀναγωγὴν δεξιᾷ καὶ πεφυκυίᾳ πρὸς πρα-
γμάτων διοίκησιν, πρότερον ὅρκον ἐξ αὐτῆς ἀπαιτήσας ἔγγρα- 22
φον ὡς οὐ πρὸς γάμον ἐλεύσεται δεύτερον. τὸ δ' ἔγγραφον 23

3 *ὅτι νοσήσας ὁ βασιλεὺς καὶ ἐκλείπων τοῖς υἱοῖς τὴν βασιλείαν κατέλιπε, κἀκείνοις τὴν μητέρα ἐπέστησεν, ὀμόσασαν ἐγγράφως μὴ δευτερογαμῆσαι* C

1 *διαρκέσας* C *ἀρχιερατικοῦ* D 6 *τοῖς υἱοῖς* om. Ewp *αὐτοῦ* om. BC *οὖσιν* AR, *οὖσιν* E, *υἱέσιν* wp 7 post *τοὺς* add. *μὲν* RwpDi *τε* om. Ewp 8 *κωνστάντιον* O, *κωνστάν* (superscript τ) A, *κωνσταντῖνον* EwpDi, v. I. Segerum *Nikeph. Bryennios* Monach. 1888 p. 122 9 *αὐγούστα* RwpDi, *αὐγοῦστα* A, v. ad XIII 23, 27 post *οὗτος* add. *μόνος* BCwp *καὶ* om. w*p *πορφυρογενήτης* E, *πορφυρογεννήτης* wpDi 11 *ἀνηγόρευσε* RwpDi, *ἀνηγόρευσεν* A, v. ad XIII 1, 5 *οὖν* intra lineas add. A 13 *καταλέλοιπε* EwpDi, v. ad XIII 1, 5 *αὐτὴν* E 14 *δοκούσης* C 15 *ἀγωγὴν* RwpDi *δεξιᾶ* O(wpDi), *δεξιὰν* E, *δεξιᾶ* corr. ex *δεξιὰν* A

Olympica monasteria frequentavit, solitariam vitam amplexus;
ubi cum diu permansisset, patriarchica sede dignus est habitus.
At rex gravi et diuturno morbo oppressus, cum iam nullam 19
mortis fugam esse cerneret, regnum tribus filiis reliquit, quorum
duos Michaëlem et Andronicum Eudocia tum privato, Constantium
vero regi pepererat, cum et ipsa Augusta esset appellata. Unde 20
is porphyrogenitus fuit ab eoque statim prae ceteris regni in-
signibus ornatus; post etiam reliquos designavit. Atque eos qui- 21
dem regno praefecit, ipsis vero matrem reginam et nutricem et,
ut paucis complectar, dominam reliquit, mandata regni admini-
stratione, quod sibi modesta videretur nec minus ad res tractandas
apta, quam ad liberos educandos ingeniosa. Sed prius scriptum 22
iusiurandum ab ea exegit, quo promitteret se a secundis nuptiis
temperaturam. Ea syngrapha ab illa firmata patriarchae custo- 23

παρ' ἐκείνης βεβαιωθὲν τῷ πατριάρχῃ ἐδόθη φυλαχθησόμενον·
ἀλλὰ καὶ οἱ τῆς συγκλήτου βουλῆς ἅπαντες ἐγγράφως κατέθεντο
μὴ ἄν ποτε βασιλέα ἕτερον ἀνειπεῖν, εἰ μὴ τοὺς παῖδας αὐτοῦ.
24 *ἐπὶ τούτοις ὁ μὲν ἐξέλιπε, βασιλεύσας ἑπτὰ πρὸς τῷ ἡμίσει*
25 *ἐνιαυτούς, ζήσας δ' ἑξήκοντα ἢ καί τι τούτων ἐπέκεινα. τὸν*
μέντοι ἀδελφὸν αὐτοῦ Καίσαρα βασιλεύσας ἐτίμησε καὶ σύμ-
C 26 *βουλον εἶχε καὶ τῶν μυστηρίων συνίστορα. λόγοις δὲ οὐχ*
ὡμιληκὼς ἠγάπα τούτους καὶ τοὺς λογίους ἐσέβετο, καὶ ἔλεγε
27 *βούλεσθαι μᾶλλον ἐκ λόγων ἢ τῆς βασιλείας γνωρίζεσθαι. τοὺς*
δ' ἐπιβούλους αὐτοῦ μὴ ἄλλως κακῶς διαθήσειν ἔφασκεν ἢ
μόνον ὡς ὠνητοῖς κεχρῆσθαι αὐτοῖς, ὡς τῶν νόμων αὐτῶν
τὴν ἐλευθερίαν ἀφελομένων.

10 *Κατὰ γοῦν τὰς τοῦ τελευτήσαντος βασιλέως διαταγὰς ἥ*
τε βασιλὶς Εὐδοκία καὶ οἱ παῖδες ἐκείνου τῆς βασιλείας ἦσαν
D *διάδοχοι καὶ ἡ βασίλισσα τὴν τῶν κοινῶν μετακεχείριστο πρό-*
νοιαν τῶν υἱέων κατάρχουσα καὶ ἐπὶ βήματος σὺν ἐκείνοις
2 *προὐκάθητο, μεσεύουσα μὲν αὐτή, ἐκείνους δὲ παρακαθίζουσα*
ἑκατέρωθεν, οὕτως ἐν ἀρχαιρεσίαις, οὕτως ἐν ζητήσεσι πολιτι-

4 *τελευτὴ Κωνσταντίνου βασιλέως τοῦ Δούκα* C 13 *βασιλεία τῆς βασιλίδος* (*δεσποίνης* A, *τ. βασ.* om. D) *Εὐδοκίας καὶ τῶν παίδων αὐτοῦ* (*καὶ—αὐτοῦ* om. C) ACD, *βασιλεία τῶν παίδων Κωνσταντίνου τοῦ Δούκα* B

2 *ἔγγραφος* E 3 *παίδας* Ewp 4 *ἐπὶ* om. w*p invitis AR *ἡμίσει* Rwp*Di*, *ἥμισυ* (s. acc.) A 10 *ἢ* AR, *εἰ* w*p 11 *ν. αὐτῶν* A, *ν. αὐτοὺς* Rw Scylitz. p. 660, 3 (Psell. p. 270, 11), *ν. αὐτοῖς* Dp 13 *τε* C, *τὰς* corr. Cw 14 *ἐκείνου*] *αὐτῆς* DE*Wo* lat. 17 *μισεύουσα* C, corr. Cw *αὕτη* Ewp 18 *πολιτικῶν* Rwp*Di*, *πολιτικαῖς* A, v. Psell. p. 271, 2

dienda est tradita; sed et senatores omnes iureiurando adacti
scripto promiserunt se non alium regem nisi liberos ipsius crea-
24 turos. Quibus rebus peractis obiit, postquam regnavit annos VII
25 cum semestri, vixit LX et amplius. Ceterum fratrem suum vivens
Caesarem appellarat et consiliarium habuerat et arcanorum con-
26 scium. Quamvis autem indoctus esset, tamen doctrinam amabat
et eruditos colebat, dicere solitus se malle ex doctrina nobilitari
27 quam regno. Insidiatores suos dicebat se non aliter male tracta-
turum, quam pro mancipiis utendo, quod leges iis libertatem
eriperent.

10. Ex testamento igitur defuncti regis regina Eᴠᴅᴏᴄɪᴀ
cum eius liberis et imperio successit et rerum communium tracta-
2 tionem suscepit, filiorum quasi magistra, atque una cum iis pro
tribunali sedebat, medium ipsa occupans, illis utrimque assiden-
tibus; sic in comitiis, sic in quaestionibus controversiarum civi-

*κῶν ὑποθέσεων, οὕτως ἐχρημάτιζον πρέσβεσιν, οὕτως ἐν συν-
ήθεσι προόδοις προήεσαν.*
Οἱ δὲ τὴν ἑῴαν ληιζόμενοι βάρβαροι οὐκ ἐπαύοντο τὰς 3
D IV 203 *ὑπὸ Ῥωμαίους κατατρέχοντες χώρας καὶ ταύτας ὁσημέραι σινό-
μενοι. οἱ γὰρ στρατιῶται, ὡς ἤδη μοι εἴρηται, διὰ τὴν τοῦ* 4
βασιλέως γλισχρότητα ὠλιγώθησάν τε καὶ ἐκακώθησαν. καὶ 5
εἴ τινες δ' ἦσαν ἔτι στρατείας ἐχόμενοι, κἀκεῖνοι ἀντεπεξιέναι W III 219
*τοῖς πολεμίοις ἦσαν ἀπρόθυμοι, τῶν συνήθων ὀψωνίων στερού-
μενοι. ὅθεν οἱ βάρβαροι ποτὲ μὲν τῇ Μεσοποταμίᾳ ἐφήδρευον,* 6
ποτὲ δὲ τὰ περὶ τὴν Μελιτηνὴν ἐπόρθουν, ποτὲ δὲ τὴν Κιλι- P II 276 A
*κίαν ἐσίνοντο, καὶ ἄλλοτε τοῖς Καππαδόκαις ἐπήεσαν καὶ τοῖς
κατὰ Κοίλην Συρίαν ἐνίοτε. ταῦτα τῇ βασιλίσσῃ καταγγελλό-* 7
*μενα θόρυβον ἐνεποίει, καὶ βασιλέως πολλῶν λεγόντων δεῖσθαι
τὰ πράγματα, δείσασα ἐκείνη μὴ τὸ κοινὸν βασιλέα τινὰ προ-
στήσηται ἑαυτοῦ, καὶ οὕτως αὐτὴ καὶ οἱ παῖδες τῆς βασιλείας
ἐκπέσωσιν, ἔκρινεν αὐτή τινα ἐπαγαγεῖν τῇ ἀρχῇ, ἵνα καὶ ἑαυτῇ
καὶ τοῖς τέκνοις διατηρήσῃ τὸ κράτος καὶ μείνῃ αὐτοῖς ἀν-
αφαίτερον. οὐ γὰρ δι' ἀκολασίαν αὐτήν φασιν οὐδ' ἡττηθεῖσαν* 8
ἡδονῆς ἑαυτῇ προσαρμόσαι τὸν Διογένη, ἀλλ' ὡς ἄνδρα δρα-

12 *ὅτι ἡ βασιλὶς Εὐδοκία βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι ἐβουλεύσατο* C

1 *ἐχρημάτιζε* D 5 *εἴρηται*] XVIII 8, 18 7 *ἔτι* RwpDi, *ἔτη* A 10 *μελιτηνὴν* AO Scylitz. p. 661, 4, *μελιτινὴν* Ewp 11 *ἐσήνωντο* mutat ex *ἐσίνοντο* B 12 *καταγγελόμενα* w*p invitis ARs 14. 15 *ἐκείνη—αὐτὴ* om. D 14 *προστήσεται* C 15 *αὐτὴ* RwpDi, *αὐτῇ* A 16 *αὐτὴ* D 17 *ἀναφέρετον* D 19 *διογένην* Rwp, v. ad § 26

lium, sic in audiendis legationibus, sic in pompis sollemnibus se gerebant.

Neque vero barbari Orientem diripere soliti Romanas provin- 3
cias incursare et in dies vexare desistebant, militibus, ut iam 4
dixi, tenacitate regis et imminutis et afflictis. Quodsi qui tum 5
restabant militiae dediti, etiam ii propter negata solita stipendia
minime erant alacres ad confligendum cum hostibus. Unde bar- 6
bari alias Mesopotamiae imminebant, alias Melitenes confinia
vastabant, alias Ciliciae nocebant, alias Cappadociam invadebant,
nonnunquam etiam Coelesyriam. Quae nuntiata reginam tur- 7
babant, cumque multi dicerent res requirere regem, verita, ne
quando, rege a republica creato, ipsa et liberi regno exciderent,
ipsa censuit aliquem sibi esse asciscendum, ut ea ratione et sibi
et liberis potestatem tueretur inviolatam. Negant enim eam 8
Diogeni nupsisse perductam libidine aut studio voluptatis, sed

5 λιπεῖν. εἶτα τοῦ ὕειν τε καὶ τοῦ νίφειν ἐπὶ μικρὸν παυθέντων
P II 271 A τῆς βασιλείου σκηνῆς προῆλθεν ὁ βασιλεὺς καὶ ὑπὸ δρῦν ἔστη
παμμεγέθη, ἐκεῖ που ἑστῶσαν· καί τινες τῶν ἐν ὑπεροχαῖς
6 αὐτὸν περιίστανται. βοῆς δ' ἐν τῷ τόπῳ συμβάσης, μετέστησαν
τῆς δρυὸς ὁ βασιλεύς τε καὶ οἱ περὶ αὐτόν, ἡ δ' αὐτίκα ῥιζό-
7 θεν ἐκσπασθεῖσα κατέπεσεν. ὁ δὲ αὐτοκράτωρ ἐπανελθὼν εἰς
τὴν μεγαλόπολιν καὶ ἀποτιννὺς ὑπὲρ τῆς σωτηρίας ταύτης τὰ
χαριστήρια τῷ θεῷ ναὸν ἐντὸς τῶν βασιλείων ἀνήγειρε τῇ πρω-
8 τομάρτυρι Θέκλᾳ· κατὰ τὴν ἡμέραν γάρ, ἐν ᾗ τελεῖται ἡ μνήμη D IV 19
ταύτης, τὸν ἐκ τῆς δρυὸς ἐξέφυγε κίνδυνον.
B 7 Ἀλλ' ἤδη ῥητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέθετο, εἰ καὶ
2 μὴ συμφωνοῦσιν οἱ συγγεγραφότες περὶ αὐτοῦ. ὁ μὲν γὰρ
πολὺς τὴν γλῶτταν Ψελλὸς ἐν θήραις ἐκεῖνον λέγει τὸν βασι-
λέα σχολάζοντα καὶ συχνάκις τὴν δεξιὰν λογχοφόρον ἐπ' ἄρκτους
καὶ σύας ἐπανατείνοντα βληθῆναι πνεύματι ψυχρῷ τὴν πλευράν,
κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ καὶ πυρετὸν ἐκ τοῦ βάθους
3 ἀναφλεγῆναι, εἰς δὲ τὴν ἐπιοῦσαν νύττεσθαι τὴν πλευρὰν καὶ

1 ὅπως τὸν ἐκ τῆς δρυὸς κίνδυνον ἐξέφυγεν ὁ βασιλεὺς καὶ οἱ περὶ αὐτόν CE 11 ὅπως τὴν βασιλείαν ἀπέθετο ὁ Κομνηνὸς καὶ ἐμόνασε, τὸν Δοῦκαν (δούκαν C, v. ad XVII 14, 24) προχειρισάμενος βασιλέα CE

2 ὑπὸ δρῦν] ὑποδρᾶν D 4 περιίσταντο BC 6 ἐκπαθεῖσα D δ' Rwp*Di* 7 μεγάλην πόλιν Ewp 8 τῷ θεῷ χαριστήρια Rwp post πρωτομ. add. ἁγία E(wp) 9 γὰρ post κατὰ BC 10 post κίνδυνον add. ναὸν δὲ πολλὴν κατηγοροῦντα τῆς ἐκείνου προαιρέσεως μικροπρέπειαν· ὃν ὁ ἐκείνου καθελὼν ἐξανέψιος ὁ αὐτοκράτωρ ἰωάννης, ὁ τοῦ ἀλεξίου υἱός, σφόδρα μεγαλοπρεπῶς ἀνεδομήσατο εἰς ὄνομα τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ BCwp, v. praef. 11 post ἀπέθετο add. οὗτος ὁ ἰσαάκιος BCwp 12 συμφρονοῦσιν C^{s}wp*Di* 13 post γλῶτταν add. ὁ σοφώτατος Ewp, v. ad XVIII 3, 2 14 καὶ om. D 15 ἀνατείνοντα B 16. 17 κἀντεῦθεν—πλευρὰν om. D 16 φρίκην om. C

5 iumenta rerum necessariarum penuria laboraverunt. Ceterum
pluvia et nive paullisper sedata, rex tabernaculo egressus sub
magnam quandam quercum in proximo concessit, circumstanti-
6 bus procerum quibusdam. Orto autem eo loco fragore, et ipse
rex et sui inde discesserunt, atque arbor statim radicitus evulsa
